# ΝΕΟΣ ΕΛΛΗΝΟΜΝΗΜΩΝ

ΠΕΡΙΟΔΙΚΟΝ ΣΥΓΓΡΑΜΜΑ ΣΥΝΤΑΣΣΟΜΕΝΟΝ ΚΑΙ ΕΚΔΙΔΟΜΕΝΟΝ

ΥΠΟ

ΣΠΥΡ. Π. ΛΑΜΠΡΟΥ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

9

1912

ΦΩΤΟΤΥΠΙΚΗ ΑΝΑΤΥΠΩΣΙΣ * 1969 * RÉIMPRESSION ANASTATIQUE

ΕΚΔΟΣΕΙΣ ÉDITIONS

ΒΑΣ. Ν. ΓΡΗΓΟΡΙΑΔΗΣ ★ BAS. N. GRÉGORIADÈS

Ε.Υ.Δ. τ.Φ. Κ.Π.
ΙΩΑΝΝΙΝΑ 2006

# ΙΣΙΔΩΡΟΥ

## ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΘΕΣΣΑΛΟΝΙΚΗΣ

## ΟΚΤΩ ΕΠΙΣΤΟΛΑΙ ΑΝΕΚΔΟΤΟΙ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Οὐδένα βεβαίως τῶν μητροπολιτικῶν θρόνων τοῦ κλίματος Κωνσταντινουπόλεως ἐκόσμησαν κατὰ τοὺς βυζαντιακοὺς χρόνους τοσοῦτοι λόγιοι ἱεράρχαι ὅσοι τὸν τῆς Θεσσαλονίκης. Ἤδη τὸν ἕβδομον αἰῶνα εὑρίσκομεν τοὺς ἁγιογράφους μητροπολίτας Πλωτῖνον καὶ Ἰωάννην, εἰς οὓς ἐπακολουθεῖ τὸν ἔνατον αἰῶνα ὁ γνωστότατος ὑμνογράφος καὶ συγγραφεὺς ὁμιλιῶν Ἰωσήφ, ὁ ἀδελφὸς Θεοδώρου τοῦ Στουδίτου. Τελευτῶντος δὲ τοῦ ἐνδεκάτου αἰῶνος ἤκμασαν ὁ Μιχαὴλ Χοῦμνος καὶ ὁ Κωνσταντῖνος Βέστης, καὶ μεσοῦντος τοῦ δωδεκάτου ἐμφανίζεται ὁ ἐκ Μαρωνείας μητροπολίτης Θεσσαλονίκης Νικήτας, ὅστις, στοιχῶν εἰς τὰς περὶ ἑνώσεως τῶν ἐκκλησιῶν ἐνεργείας Μανουὴλ τοῦ Κομνηνοῦ, ὑποστηρίζει αὐτὰς διὰ συγγραφῶν δικαιολογουσῶν τὸ λατινικὸν δόγμα. Ἰδιάζουσα δ' αἴγλη λαμπρύνει τὴν Θεσσαλονίκην διὰ τῆς εἰς τὸν θρόνον αὐτῆς ἀναρρήσεως τοῦ πολλοῦ Εὐσταθίου, ὅστις εἶνε μετὰ τῶν φίλων αὐτοῦ καὶ μαθητῶν ὁ ἡγήτωρ τῆς δευτέρας μετὰ τὴν ἐπὶ Κωνσταντίνου τοῦ Πορφυρογεννήτου παρὰ τοῖς Βυζαντίνοις Ἀναγεννήσεως τῶν γραμμάτων. Ἀπὸ δὲ τῶν ἡμερῶν αὐτοῦ καὶ μέχρι σχεδὸν τῆς ὑπὸ τῶν Τούρκων δουλώσεως τῆς Θεσσαλονίκης ἀναδεικνύεται πλειὰς ὅλη ἐκκλησιαστικῶν συγγραφέων, διαχεόντων ἀπὸ τῆς πόλεως ἐκείνης ὡς ἀπὸ ἀειρρύτου πηγῆς τὰ νάματα τῆς ὀρθοδοξίας. Ὁ Γρηγόριος Παλαμᾶς, ὁ Νεῖλος Καβάσιλας, ὁ Ἰσίδωρος, ὁ Γαβριήλ, ὁ Συμεὼν οἱονεὶ ἐξ ὑπαμοιβῆς λαμπαδηφοροῦσιν ὑπὲρ τῆς ἐκκλησίας.

Τῶν συγγραφέων τούτων εἷς τῶν ἐλάχιστα μέχρι τοῦδε

Ε.Τ.Σ. της Κ. Π
ΙΩΑΝΝΙΝΑ 2006

γνωστῶν εἶνε ὁ Ἰσίδωρος Γλαβᾶς[1], ἀκμάσας περὶ τὰ τέλη τοῦ δεκάτου τετάρτου αἰῶνος. Τούτου εἶνε ἐκδεδομένοι ἤδη μόνον τέσσαρες λόγοι εἰς τὴν Θεοτόκον, καὶ δὴ εἰς τὴν γέννησιν, εἰς τὰ εἰσόδια, εἰς τὸν εὐαγγελισμὸν καὶ εἰς τὴν κοίμησιν[2]. Ἀλλὰ πλὴν τῶν λόγων τούτων ἐγράφησαν ὑπὸ τοῦ Ἰσιδώρου καὶ τὰ ἑξῆς· α΄) Μέθοδος τοῦ εὑρίσκειν τὸν κύκλον τοῦ Πάσχα (Ratio inveniendi cyclum paschalem), ἥτις σώζεται ἐν φ. $45^{α}-47^{β}$ τοῦ κώδικος F 79 sup. τῆς Ἀμβροσιακῆς βιβλιοθήκης. Ἀρχ. *Ὁ χρόνος ἔχει μῆνας ιβ΄ καὶ ἡμέρας τξε΄*[3]· β΄) Ὑπομνήματα εἰς τὸν εὐαγγελιστὴν Λουκᾶν, σωζόμενα ἔν τινι κώδικι τῆς βιβλιοθήκης τοῦ Βατικανοῦ[4]· γ΄) Περὶ τῆς ἀρχιερωσύνης Ἀνθίμου Οὐγγροβλαχίας ἐν φ. $54^{β}$ τοῦ κώδικος τῆς ἁγιορειτικῆς

[1] Καὶ ἄλλος μητροπολίτης Θεσσαλονίκης πρὸ τοῦ Ἰσιδώρου ἔφερεν ὁμοίως τὸ ἐπώνυμον Γλαβᾶς, βλέπομεν δὲ τοῦτον ἀρχιερατεύοντα ἐν Θεσσαλονίκῃ περὶ τὸ 1339 καὶ 1340. Εἰς τοῦτον πιθανῶς ἐγράφη ἡ ἐπιστολὴ τοῦ Νικηφόρου Γρηγορᾶ ἡ ἐπιγραφομένη «Τοῦ φιλοσόφου τῷ μητροπολίτῃ Θεσσαλονίκης τῷ Γλαβᾷ», ἥτις νῦν εὕρηται ἐκδεδομένη παρὰ τῷ *Migne* (Patrologia graeca Τόμ. ΡΜΘ΄ σ. 658). Ὀρθῶς ἤδη εἶχε δείξει ὁ *Lequien* (Oriens christianus σ. 57), ὅτι δὲν ἠδύνατο νἀναφέρηται εἰς τὸν ἡμέτερον Ἰσίδωρον. Ὁ δὲ σεβασμιώτατος κ. *Λουδοβῖκος Petit* (Echos d'Orient Τόμ. Ε΄ σ. 57) πειστικώτατα θεωρεῖ αὐτὴν ἀποσταλεῖσαν εἰς τὸν ἀρχαιότερον ἐκεῖνον μητροπολίτην Θεσσαλονίκης τὸν Γλαβᾶν.

[2] Ἐξέδωκεν αὐτοὺς τὸ πρῶτον μόνον ἐν λατινικῇ μεταφράσει τοῦ Ἰωάννου Ματθαίου Καρυοφύλλη ὁ *Ἱππόλυτος Maraccius* (Marialis S. Isidori. Ἐν Ῥώμῃ. 1651). Τούτων δὲ τὸν εἰς τὰ Εἰσόδια ἐπανέλαβε λατινιστὶ ὁ *Combefisius* ἐν τῇ Bibliotheca conciniatoria. Ἴδε *Fabricius - Harles* Bibliotheca graeca Τόμ. I σ. 498. Ἑλληνιστὶ δ᾽ ἐξεδόθησαν τὸ πρῶτον ἐκ τοῦ Vaticanus graecus 651 ὑπὸ τοῦ *A. Ballerini* (Sylloge monumentorum. Ἐν Ῥώμῃ. 1851. Τόμ. Α΄ σ. 205 κ. ἑ., 418 κ. ἑ., Β΄ σ. 377 κ. ἑ., 597 κ. ἑ.), ἐξ οὗ παρέλαβεν αὐτοὺς ὁ *Migne* (Patrologia graeca Τόμ. ΡΛΘ΄ σ. 12 - 164), ὅστις λατινικὴν μετάφρασιν δὲν παρέθηκε, καθ᾽ ἃ τὸ κατ᾽ ἀρχὰς προετίθετο, τὴν τοῦ Καρυοφύλλη, ἅτε μὴ οὖσαν ἀκριβῆ.

[3] *Martini - Bassi* I manoscritti greci della Bibliotheca Ambrosiana. Ἐν Μεδιολάνῳ. 1906. Τόμ. Β΄ σ. 1127.

[4] Μνημονεύει τούτων ὁ *Sixtus Senensis* ἐν βιβλίῳ IV τῆς Bibliotheca Sancta κατὰ τὸν *Fabricius - Harles* ἔνθ᾽ ἀν. — Ὁ *Montfaucon* (Bibliotheca Bibliothecarum Τόμ. Α΄ σ. 12 D) ἀναγράφει κώδικα ὡς σωζόμενον ἐν τῷ Βατικανῷ. — Ὁ *Moroni* Dizionario di Erudizione Storico-Ecclesiastica. Ἐν Βενετίᾳ 1846. Τόμ. Λϛ΄ σ. 142, ἐν ἄρθρῳ *Isidoro*, συγχέων τὸν Θεσσαλονίκης Ἰσίδωρον πρὸς τὸν Ἰσίδωρον Ῥωσίας τὸν μετασχόντα τῆς ἐν Φλωρεντίᾳ συνόδου καὶ ἔπειτα καρδινάλιον, προσγράφει εἰς τοῦτον τὰ εἰς τὸν Λουκᾶν ὑπομνήματα.

Ε.Ν.Φ. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

μονῆς Ἰβήρων[1]· δ') Περὶ τῆς ἱερωσύνης Εὐγενικοῦ ἀναγνώστου ἐν φ. 55 β τοῦ αὐτοῦ κώδικος[2]· ε') «Σύνταγμα ψηφοφορικὸν καὶ σύνοδος πανσελήνου, ἐκλείψεις ἡλίου καὶ σελήνης εὕρεσις ἀκριβής» ἐν τῷ κώδικι 696 τῆς αὐτῆς μονῆς[3] καὶ ἐν φ. 161 τοῦ κώδικος Reginae Svecorum 43 τῆς βατικανικῆς βιβλιοθήκης[4]. Ἀρχ. *Γινώσκειν σε χρὴ ὅτι κύκλος τῆς σελήνης*· ς') Ὁμιλίαι καὶ ζ') Ἐπιστολαί[5].

Καὶ ὁμιλίας μὲν τοῦ Ἰσιδώρου περιλαμβάνουσιν ὁ Παρισιακὸς 1192, γεγραμμένος τὸν δέκατον πέμπτον αἰῶνα, εἴκοσι καὶ ἐννέα τὸν ἀριθμὸν[6], ὁ Vaticanus graecus 651, τοῦ δεκάτου πέμπτου αἰῶνος, δεκαέξ[7], ὁ Ἀμβροσιακὸς I 91 inf., τοῦ δεκάτου ἕκτου αἰῶνος, ἐν φ. 1-62 β ἑπτὰ[8], καὶ ὁ τῆς ἐν Ῥώμῃ Ἀγγελικῆς βιβλιοθήκης (Bibliotheca Angelica) 51, γεγραμμένος μεταξὺ τοῦ δεκάτου ἕκτου καὶ τοῦ δεκάτου ἑβδόμου αἰῶνος, τὰς αὐτὰς ἑπτά[9]. Πλὴν δὲ τῶν κωδίκων τούτων ἡ ὁμιλία εἰς τὴν Χριστοῦ γέννησιν περιλαμβάνεται ἐν κώδικι

[1] ***Σπυρ. Π. Λάμπρου*** Κατάλογος τῶν ἐν ταῖς βιβλιοθήκαις τοῦ Ἁγίου ὄρους ἑλληνικῶν κωδίκων Τόμ. Β' σ. 71.

[2] Αὐτόθ. σ. 71.

[3] Αὐτόθ. σ. 207.

[4] *Montfaucon* ἔνθ' ἀν. σ. 33 ἀρ. 892. — *Henr. Stevenson Senioris* Codices manuscripti graeci Reginae Svecorum et Pii PP II bibliothecae Vaticanae. Ἐν Ῥώμῃ. 1888 σ. 31.

[5] Ἴδε περὶ τῶν ἔργων τοῦ Ἰσιδώρου Θεσσαλονίκης καὶ *Labbaeus* Bibliotheca ecclesiastica σ. 246, 651.

[6] *Omont* Inventaire sommaire des manuscrits grecs de la Bibliothèque Nationale Τόμ. Α' σ. 259 κ. ἑ.

[7] *Krumbacher* Geschichte der byzantinischen Litteratur σ. 176. ἑλλ. μεταφρ. ***Σωτηριάδου*** Τόμ. Α' σ. 352.

[8] *Martini - Bassi* ἔνθ' ἀν.

[9] *Costantino Mues* Saggio dell'intero catalogo di centosei codici greci della Biblioteca Angelica in Roma. Ἐν Ῥώμῃ. Tipografia della Pace di Filippo Caggini. 1894 σ. 28 κ. ἑ.— *Franchi de' Cavalieri* e *G. Muccio* Index codicum graecorum Bibliothecae Angelicae ἐν τοῖς Studi Italiani di Filologia classica Τόμ. Δ' (1896) σ. 99 κ. ἑ. Ἴδε κατωτέρω τὰς ἐπιγραφὰς καὶ τὴν ἀρχὴν τῶν ἑπτὰ τούτων ὁμιλιῶν, αἵτινες συμπίπτουσι πρὸς τὰς τοῦ Ἀμβροσιακοῦ κώδικος, καθ' ἃ ἐξάγεται ἐκ τῆς παρὰ *Martini-Bassi* ἔνθ' ἀν. ἀνακοινουμένης ἀρχῆς αὐτῶν.

ΕΡΓΑΣΤΗΡΙΟ ΜΕΣΑΙΩΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΔΙΕΥΘΥΝΣΗ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Γ.Αστη,Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΜΕΣΑΙΩΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΟΝ ΒΥΖΑΝΤΙΝΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

τῶν τοῦ Voss (Vossianus) τῆς ἐν τῷ ὀλλανδικῷ Λουγδούνῳ βιβλιοθήκης[1] καὶ ἐν φ. 256 κ. ἑ. τοῦ Βιενναίου Theol. graecus XXXV[2]. Σποράδην δὲ μνημονεύονται παρὰ τῷ Φαβρικίῳ ἄνευ μνείας τῶν κωδίκων ἐν οἷς περιλαμβάνονται πλὴν τῶν ἀνωτέρω ἀναγραφέντων λόγων εἰς τὰ γενέθλια τῆς Θεοτόκου (Ἀρχ. *Μωϋσῆς ἐκεῖνος, ὦ θάλασσα*)[3], εἰς τὸν Εὐαγγελισμὸν (Ἀρχ. *Εὐφρανθήτωσαν οἱ οὐρανοί*)[4] καὶ εἰς τὴν Κοίμησιν (Ἀρχ. *Εἰ δὲ οὐρανῶν κάλλος*)[5] καὶ ἄλλαι ὁμιλίαι τοῦ Ἰσιδώρου, καὶ δὴ εἰς τὴν Χριστοῦ γέννησιν (Ἀρχ. *Ἄρρητα τῆς τοῦ θεοῦ φιλανθρωπίας*)[6], εἰς τὰ Φῶτα (Ἀρχ. *Νῦν ἡμέρα φωτογενὴς καὶ σωτήριος*)[7] καὶ εἰς τὰ ἅγια τῶν ἁγίων (Ἀρχ. *Καθάπερ τῇ ἱερᾷ τραπέζῃ*)[8].

Αἱ ἐν τοῖς διαφόροις ἀνωτέρω ἀναγραφεῖσι κώδιξι περιλαμβανόμεναι ὁμιλίαι τοῦ Ἰσιδώρου Θεσσαλονίκης πρέπει νὰ διεξακριβωθῇ κατὰ πόσον εἶνε αἱ αὐταὶ ἔν τισι καὶ πόσαι ἐν ὅλῳ ἐκκαθαρίζονται. Ζήτημα δὲ εἶνε καὶ ἂν τὰ Ὑπομνήματα εἰς τὸν εὐαγγελιστὴν Λουκᾶν τὰ ὑπὸ τοῦ Sesto Senese καὶ τοῦ Montfaucon μνημονευόμενα[9] εἶνε ἄλλο τι ἢ αὐταὶ αἱ ἀλλαχοῦ εὑρισκόμεναι ὁμιλίαι αἱ ἀφορμώμεναι ἀπὸ χωρίων τοῦ εὐαγγελίου τοῦ Λουκᾶ. Ἀλλ' ὁπωσδήποτε ἀνέρχονται εἰς ἱκανὸν ἀριθμόν, καὶ κατὰ ταῦτα δὲν εἶχεν ἄδικον Εὐγένιος ὁ Νομοφύ-

[1] Catalogus librorum tam impressorum quam manuscriptorum bibliothecae publicae Universitatis. Ἐν Λουγδούνῳ. 1716 σ. 42 ἀρ. 2. Πρβλ. *Fabricius - Harles* ἔνθ' ἀν.

[2] *Kollar* Petri Lambecii Commentariorum Supplementum. Liber primus postumus. Ἐν Βιέννῃ. 1790 σ. 261 κ. ἑ. — Πρβλ. *Fabricius - Harles* ἔνθ' ἀν. Ἐν τῷ κώδικι τούτῳ περιλαμβάνεται μόνον «Ἰσιδώρου ἀρχιεπισκόπου Θεσσαλονίκης Εἰς τὴν σωτήριον καὶ κατὰ σάρκα γέννησιν τοῦ κυρίου καὶ θεοῦ ἡμῶν Ἰησοῦ Χριστοῦ λόγος».

[3] *Fabricius - Harles* Τόμ. Ι' σ. 278.

[4] *Fabricius - Harles* Τόμ. Ι' σ. 280.

[5] *Fabricius - Harles* Τόμ. Ι' σ. 283.

[6] *Fabricius - Harles* Τόμ. Ι' σ. 238.

[7] *Fabricius - Harles* Τόμ. Ι' σ. 242.

[8] *Fabricius - Harles* Τόμ. Ι' σ. 321.

[9] Ἴδε ἀνωτέρω σ. 344 σημ. 4.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

λαξ, ἐγκωμιάζων ἐν τῷ Συνοδικῷ τῆς ἐκκλησίας Θεσσαλονίκης τὸν Ἰσίδωρον ἐπὶ τῷ ὅτι καθ' ἡμέραν διὰ τοῦ λόγου καὶ τῶν συγγραφῶν παρεθάρρυνε τὸ ποίμνιον αὐτοῦ εἰς τὸν κατὰ Χριστὸν βίον[1]. Καὶ ὑπὸ ἱστορικὴν δ' ἔποψιν εἶνε ἄξιαι μελέτης αἱ ὁμιλίαι αὗται, ἐπειδή τινες αὐτῶν δὲν εἶνε ἄσχετοι πρὸς τὰ γεγονότα τῆς ἡμέρας. Ἐπὶ δὲ τοῦ παρόντος περιορίζομαι ἐκδίδων ἐνταῦθα τὸν πίνακα τῶν ἐν τῷ Ἀγγελικῷ κώδικι ἐν φ. VIII$^{a}$—IX$^{a}$ περιλαμβανομένων εἴκοσιν, ὧν αἱ ὑπ' ἀριθμὸν ιζ', ιη' καὶ κ' εἶνε τῶν ἐκδεδομένων εἰς τὴν Θεοτόκον λόγων.

«Πίναξ ἀκριβὴς τῆς παρούσης πηκτίδος».

«α. Πρότη ὁμιλία τοῦ β$^{ου}$ βιβλίου τοῦ ἁγίου Ἰσιδώρου εἰς τὸ τῆς ς$^{ης}$ Κυριακῆς τοῦ Λουκᾶ. Τῷ ἐλθόντι τῷ Ἰησοῦ εἰς τὴν χώραν τῶν Γαδαρηνῶν ἠπήντησεν αὐτῷ ἄνθρωπος τὶς ἐκ τῆς πόλεως».

«β. Τοῦ αὐτοῦ ὁμιλία. Τὸ ἄνθρωπος τὶς προςῆλθεν τῷ Ἰησοῦ, ᾧ ὄνομα Ἰάειρος».

«γ. Τοῦ αὐτοῦ ὁμιλία Τὸ νομικός τις προςῆλθεν τῷ Ἰησοῦ πειράζων αὐτὸν καὶ λέγων».

«δ. Τοῦ αὐτοῦ ὁμιλία Τὸ ἀνθρώπου τινὸς πλουσίου εὐφόρησεν ἡ χώρα».

«ε. Τοῦ αὐτοῦ ὁμιλία Τὸ ἦν διδάσκων ὁ Ἰησοῦς ἐν μιᾷ τῶν συναγωγῶν ἐν τοῖς Σάββασιν».

«ς. Τοῦ αὐτοῦ ὁμιλία εἰς τὸ ἀναγινωσκόμενον εὐαγγέλιον Τῇ Κυριακῇ τῶν ἁγίων πατέρων: [Τ]ὸ ἄνθρωπος τίς ἐποίησε δεῖπνον (ἕπεται *μέγα* διαγεγραμμένον)».

«ζ. Τοῦ αὐτοῦ εἰς τὴν σωτήριον κατὰ σάρκα γέννησιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ».

«η. Τοῦ αὐτοῦ ὁμιλία Ῥηθεῖσα ἐν τῇ ἱερᾷ τῶν Φώτων ἑορτῇ».

[1] **Παρὰ τῷ *Λέοντι Ἀλλατίῳ*** De Symeonum scriptis σ. 187: *Ἰσιδώρου τοῦ ἐν μακαρίᾳ τῇ λήξει γενομένου ἁγιωτάτου ἀρχιεπισκόπου Θεσσαλονίκης, τοῦ δίκην ἀστέρος λαμπροῦ τὴν ποίμνην αὐτοῦ ταύτην καταφωτίσαντος ταῖς καθ' ἡμέραν ἱεραῖς διδασκαλίαις καὶ εἰσηγήσεσιν καὶ κατὰ τὸν καλὸν καὶ πρῶτον ποιμένα Χριστὸν τοῦ ποιμνίου πάντα τρόπον πεφροντικότος καὶ μακρὰς ὁδοιπορίας ἐπενηνοχότος καὶ πᾶν εἴ τι θεῖον καὶ πρὸς σωτηρίαν ἐνάγον καὶ λόγοις διδάξαντος καὶ ἔργοις ἐνδειξαμένου καὶ τῷ ὄντι τοῖς ἐπ' ἀρετῇ καὶ σοφίᾳ πρὸ αὐτοῦ διαλάμψασιν ἐξισωθέντος τοῖς ὅλοις αἰωνία ἡ μνήμη.* Πρβλ. *Krumbacher* ἔνθ' ἀν. σ. 175. ἑλλ. μεταφρ. ***Σωτηριάδου*** Τόμ. Α' σ. 351.

«θ. Τοῦ αὐτοῦ ὁμιλία Τῇ μετὰ τῶν Φώτων Κυριακῇ. Τὸ ἀκούσας ὁ Ἰησοῦς ὅτι ὁ Ἰωάννης παρεδόθη καὶ ἀνεχώρησεν».

«ι. Τοῦ αὐτοῦ ὁμιλία Τὸ εἰσερχομένῳ τῷ Ἰησοῦ εἰς τινὰ κώμην ἀπήντησαν αὐτῷ δέκα λεπροὶ ἄνδρες».

«ια. Τοῦ αὐτοῦ ὁμιλία [Τ]ὸ ἄνος τίς προςῆλθεν τῷ Ἰησοῦ πειράζων αὐτὸν καὶ λέγων, διδάσκαλε ἀγαθέ».

«ιβ. Τοῦ αὐτοῦ ὁμιλία Τὸ ἐγένετο ἐν τῷ ἐγγίζειν τὸν Ἰησοῦν εἰς Ἱεριχὸν, τυφλὸς τις ἐκάθητο παρὰ τὴν ὁδόν».

«ιγ. Τοῦ αὐτοῦ ὁμιλία Τὸ διήρχετο ὁ Ἰησοῦς τὴν Ἱεριχὸν καὶ ἰδοὺ ἀνὴρ καλούμενος Ζακχαῖος».

«ιδ. Τοῦ αὐτοῦ ὁμιλία, Περὶ ἑνώσεως πνευματικῆς καὶ κατὰ τῶν συγγενικῷ τρόπῳ συναπτομένων τοῖς εὐσεβέσι».

«ιε. Τοῦ αὐτοῦ, Κατὰ τῶν ἀθέσμως ἑνουμένων τοῖς ἀσεβέσιν».

«ιϛ΄ Τοῦ αὐτοῦ ὁμιλία διαλαμβάνουσα ὅπως ἡ περὶ ἔννεια καὶ τὰ θεῖα ῥήματα τροφή ἐστι καὶ σύστασις ψυχῆς, καὶ ὅτι ὥςπερ βίβλος τὰ ὅτα παρὰ τοῦ θεοῦ τοῖς ἀνθρώποις προυτέθησαν καὶ διὰ τοῦ βραχέως ῥήματος, Τοῦ, Κύριε ἐλέησον οἰκειοῦσθαι θεῷ καὶ φωτίζεσθαι, [κ]αὶ περὶ τῆς εἰς τὸν πλησίον ἀγάπης καὶ παθῶν ἀποχῆς».

«ιζ. Τοῦ αὐτοῦ Εἰς τὴν γέννησιν τῆς Θεοτόκου καὶ δεσποίνης ἡμῶν».

«ιη. Τοῦ αὐτοῦ εἰς τὰ ἅγια τῶν ἁγίων».

«ιθ. Τοῦ αὐτοῦ εἰς τὸν Εὐαγγελισμόν».

«κ. Τοῦ αὐτοῦ εἰς τὴν κοίμησιν τῆς παναγίας Θεοτόκου».

Καὶ ὁ μὲν Πίναξ περιέχει τὰς ἄνω εἴκοσιν ὁμιλίας, ἀλλ᾽ ὁ βιβλιογράφος περιέλαβεν ἐν τῷ σώματι τοῦ κώδικος μόνον τὰς πρώτας ἑπτὰ, ἐπιγραφομένας ἐν τῇ οἰκείᾳ θέσει ὧδε·

φ. 1α. «Τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου Θεσσαλονίκης Ἰσιδώρου ὁμιλία εἰς τὸ τῆς ῑ Κυριακῆς τοῦ Λουκᾶ Εὐαγγέλιον. Τῷ ἐλθόντι Ἰησοῦ εἰς τὴν χώραν τῶν Γαδαρηνῶν, ὑπήντησεν αὐτῷ ἄνθρωπος ἐκ τῆς πόλεως».

Ἀρχ. Ἰατρῷ μὲν εἴπου τις ὑπήντησεν (ἐν τῇ φα τῷ) ἐρχομένῳ.

φ. 27α. «Τοῦ αὐτοῦ ὁμιλία εἰς τὸ ἅγιον Εὐαγγέλιον τὸ Ἄνθρωπός τις προςῆλθε τῷ Ἰησοῦ ᾧ ὄνομα Ἰάειρος».

Ἀρχ. Ἄριστον μὲν οὖν καὶ πάνυ τῶν ἀναγκαίων.

φ. 52α. «Τοῦ αὐτοῦ ὁμιλία εἰς τὸ Εὐαγγέλιον τὸ νομικός τις προςῆλθε τῷ Ἰησοῦ πειράζων αὐτὸν καὶ λέγων».

Ἀρχ. Ζωὴν μὲν τὴν λυομένην.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ: ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

φ. 78β. Τοῦ αὐτοῦ ὁμιλία «Τὸ ἀνθρώπου τινὸς πλουσίου εὐφόρησεν ἡ χώρα».

Ἀρχ. Νὺξ ἀπαγχὴς καὶ σκιὰ τὰ παρόντα.

φ. 95β. «Τοῦ αὐτοῦ ὁμιλία εἰς τὸ Εὐαγγέλιον τό. ἦν διδάσκων ὁ Ἰησοῦς ἐν μιᾷ τῶν συναγωγῶν ἐν τοῖς Σάββασι καὶ ἰδοὺ γυνὴ ἦν πνεῦμα ἔχουσα ἀσθενείας».

Ἀρχ. Καθάπερ ἐπαινετὸν καὶ καρπῶν πρόξενον πνευματικῶν.

φ. 117β. «Τοῦ αὐτοῦ ὁμιλία εἰς τὸ ἀναγινωσκόμενον Εὐαγγέλιον τῇ Κυριακῇ τῶν ἁγίων πατέρων· τὸ ἄνθρωπος τις ἐποίησε δεῖπνον μέγα καὶ ἐκάλεσε πολλούς».

Ἀρχ. Μέγισται μὲν αἱ τοῦ θεοῦ περὶ ἡμᾶς δωρεαί.

φ. 143β. «Τοῦ αὐτοῦ εἰς τὴν σωτήριον καὶ κατὰ σάρκα γέννησιν τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ».

Ἀρχ. Ἄρρητα τῆς τοῦ θεοῦ φιλανθρωπίας ὑπὲρ ἡμῶν τὰ γνωρίσματα.

Εἶνε δ' ἅπασαι αὗται αἱ ἑπτὰ ὁμιλίαι καθαρῶς κατηχητικαί· μόνον δὲ τὰ ἑξῆς χωρία εὑρίσκονται ἐν αὐταῖς ἔχοντα ὑπαινιγμοὺς εἰς σύγχρονα γεγονότα ἢ ἄλλως ἄξια σημειώσεως.

## *1* (Ἐν τῇ τρίτῃ Ὁμιλίᾳ φ. 67β–69β).

Διὰ τοῦτο νῦν ὁρῶμεν ἀγαπητοὶ καὶ τὰς συνεχεῖς συμφορὰς πικρῶς καθ' ἡμῶν ἐπιούσας, ὅτι τῆς τοῦ θεοῦ διιστάμενοι ἀγάπης πάσας τε τὰς αὐτοῦ παρορῶμεν ἐντολάς· ὁ γὰρ μένων φησὶν ἐν τῇ ἀγάπῃ τὰς ἐντολάς μου τηρήσει· καὶ τὰς φθοροποιοὺς ἐκτελοῦμεν ἁμαρτίας, καὶ τοῖς ἐπιτάγμασι πειθόμεθα τοῦ παμπονήρου διαβόλου· ἔνθεν καὶ μνησικακοῦμεν καὶ ἀλλήλοις φθονοῦμεν καὶ διαβάλλομεν καὶ ψευδόμεθα καὶ ἁρπάζομεν τὰ ἀλλότρια, καὶ παντοίοις ἄλλοις ἀτοπήμασιν ὑποπίπτομεν· δι' ἃ καὶ τοῖς ἔθνεσιν ἐλεεινῶς ὑποτέταγμεν, καὶ ἡμῶν οἱ μὲν αἰχμάλωτοι πικρῶς ἕλκονται, οἱ δὲ τοῖς ξίφεσι τῶν ἀσεβῶν ὀδυνηρῶς κατατέμνονται, ἡμεῖς δὲ οἱ μήπω τάχα ὁλοσχερῶς ὑπ' αὐτῶν ἁρπαγέντες ταῖς καθ' ἑκάστην ἀπειλαῖς καὶ τῇ τῶν φόρων ὑπὲρ δύναμιν καταβολῇ ὥσπερ τισὶν ἄλλοις πιεζόμεθα καὶ μαστιζόμεθα κολαστηρίοις· ἁπάντων δὲ τούτων αἴτιον τῶν δεινῶν τὸ τῶν θείων ὑπερορᾶν ἐντολῶν, μάλιστα δὲ τῆς ἀληθινῆς ἀγάπης διίστασθαι· ταὐτὸ δὲ

1. *διατεέτο* 4. *τας ἁμαρτίας* 7. *ἀρπάζομεν* 8. *οἱ* 9-10. *ὀδυνηρῶς* 12. *ὥσπερ τισιν* *πιαζόμεθα* ἐν τῷ κειμένῳ, ἐν δὲ τῇ ὤᾳ χειρὶ νεωτέρᾳ, *πιεζόμεθα* 13. *ἀπάντων* 14. *μάλλιστα* *ταυτό*

ΕΡΓΑΣΤΗΡΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Α της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

εἰπεῖν τοῦ θεοῦ ἐντεῦθεν καὶ κατ᾽ ἀλλήλων μαινομένων δίκην ἐχωρήσαμεν καὶ ἡμᾶς αὐτοὺς ἑκόντες τοῖς ἀσεβέσι προὐδώκαμεν καὶ πολυπληθέσιν ἄλλοις περιεπέσαμεν δεινοῖς. Εἰ γὰρ τὴν αἰτίαν τῆς κατὰ τῶν Χριστιανῶν συντριβῆς ζητήσεις καὶ φθορᾶς οὐκ ἄλλην εὑρήσεις ἢ τὴν [τῆς] πρὸς τὸν θεὸν καὶ τὸν πλησίον ἀγάπης διάστασιν. Ἐκεῖθεν γὰρ καὶ κατὰ τῶν ὁμοφύλων πολλάκις ἡμῖν πόλεμος συγκεκρότηται, καὶ πατέρες τὴν φύσιν ἠγνόησαν καὶ κατὰ παίδων θηρίων ὠμότερον διετέθησαν, καὶ ἀδελφὸς ἐξέστη τοῦ φυσικοῦ φίλτρου καὶ οἷς κοινὴ γαστὴρ σαρκῶν μετέδωκε τῶν αὐτῶν, οὗτοι κατ᾽ ἀλλήλων δεξιὰν ὥπλισαν, καὶ πάντα συνεσχέθη τὰ καθ᾽ ἡμᾶς· καὶ νῦν ἐλεεινῶς τοῖς ποσὶ συμπατούμεθα καὶ πιεζόμεθα τῶν ἀσεβῶν. Ἀπὸ γὰρ τοῦ μὴ τὸν ἀδελφὸν ἀγαπᾶν καὶ φιλεῖν τὸν θεὸν ἠγνοήσαμεν, τῆς δὲ τοῦ θεοῦ χωρισθέντες ἀγάπης καὶ ὁρατοῖς καὶ ἀοράτοις παίγνιον γεγόναμεν πολεμίοις. Ὅτι δὲ καὶ οὐρανὸν ὁρᾶν ἔτι καὶ ἥλιον καὶ γῆν ἡμῖν πατεῖν συγκεχώρηται, τῆς τοῦ θεοῦ καὶ τοῦτο μακροθυμίας καὶ οὐκ ἐξ ὧν ἡμεῖς πρὸς αὐτὸν νεύομεν. Ἄξιοι γὰρ ἀφ᾽ ὧν πράττομεν καὶ τῆς τούτων ἐσμὲν στερηθῆναι ψυχαγωγίας καὶ προσέτι δίκην ὑποσχεῖν τὴν ἐσχάτην.

## 2 (Ἐν τῇ αὐτῇ τρίτῃ ὁμιλίᾳ φ. $73^{a-\beta}$).

Ἢ οὐχ ὁρᾷς ὅτι καὶ δένδρα μὴ ὑπὸ τὸ αὐτὸ καὶ ταῦτα εἶδος ὄντα ἀλλήλοις συνάπτομεν καὶ εἰς φιλίας ὥσπερ συνδέομεν, ὃ κατὰ κοινοὺς *φιλίασμα* καλεῖται, καὶ καρπὸν ἀποτίκτουσιν.

## 3 (Ἐν τῇ αὐτῇ τρίτῃ ὁμιλίᾳ φ. $76^{\beta}$–$77^{\beta}$).

Εἰ γὰρ ἃ τηρεῖν ἄψαυστά σοι προσῆκε, τὰ θεῖα φημὶ ἀναθήματα. ταῦτα ὑπὲρ σῆς ἀφαιρῶν βοηθείας, ὡς φῄς, ἄλλοις εἰς τράπεζαν παρασκευάζεις, παραπλήσιόν τι ποιεῖς, ὥσπερ ἂν εἴ τις ἰατρὸς φάρμακον, ὃ καὶ τὸν ἁψάμενον χειρὶ καὶ τὸν γευσάμενον θανατοῖ, τοῦτο οἰκείαις χερσὶν εἰληφὼς τοῖς κάμνουσιν ὤρεγεν, ἵνα τούτους λύσῃ τῆς νόσου. Οὔτε γὰρ τοῖς νοσοῦσιν ὁ ἰατρὸς ἐκεῖνος βοήθειαν χορηγήσει, καὶ ἑαυτὸν προσαπόλλυσι. Λέγειν δὲ ἀναγκάζομαι ταῦτα δι᾽ ἐκείνους ὅσοι τὸν δικαιότατον τοῦτον ὠθοῦσι βασιλέα μετακινεῖν τὰ τῶν ἱερῶν. Τὴν γὰρ αὐτοῦ περὶ τὰ θεῖα σπουδὴν καὶ ὅσην τρέφει τὴν ἔφεσιν τὰ τῶν

2. *προυδώκαμεν* 4. *ἄλλην εὑρήσεις* 7. *ὠμότερον* 8. *οἷς* 11. *συμπατούμεθα* ἐκ τοῦ *συμπατοῦμεθα* *πιαζόμεθα* 12. *ἠγνοήσαμεν* 19. *ἢ* [illegible] 20. *ἀλλήλοι* 22. *προσήκε* 26. *εἰληφὼς* ἐκ τοῦ *εἰληφῶς* 30. *τῶν*

ΙΩΑΝΝΙΝΑ 2006

ἐκκλησιῶν ἐπὶ μεῖζον αἴρειν ἐν πολλοῖς μὲν καὶ ἄλλοτε δῆλην πεποίηκε, παρίστησι δὲ τῶν φθασάντων οὐκ ἔλαττον καὶ ὁ πολὺς νῦν ἀγὼν ὑπὲρ τοῦ Ἁγίου Σώζοντος, τοῦθ' ὅπερ ἴστε, λέγω τὸ κτῆμα τὸ πάλαι τῇ καθ' ἡμᾶς προσχωρωθὲν ἁγιωτάτῃ ἐκκλησίᾳ· ὃν ὥστε τὸ ἴδιον τῇ ἐκκλησίᾳ παραμένειν ἐνεδείξατο, πολλῶν τῶν ἐν ἀξίαις προὐχόντων ἀνθελκόντων πρὸς ἕτερα. Εἰ δὲ καὶ μὴ τὰ κατὰ γνώμην ἑαυτῷ ταχέως νῦν ἐτέλεσε, τοῦ καιροῦ τοῦτο βιασαμένου, ἀλλ' οὐ μικρὰ τῆς θεοφιλίας αὐτοῦ κἀν τούτῳ παρέχει γνωρίσματα. Ἐγὼ δὲ οὔτ' ἐλέγχειν ἀποστήσομαι τὰ θεομισῆ, εἰ καὶ τὴν γλῶτταν τὴν ἐμὴν ἐκτεμεῖν τις ἠπείλησεν, οὔτε κηρύττων εἰς δύναμιν παύσομαι τὰ θεοφιλῆ. Τοῦτο δὲ ὁ ῥέων ἐφεξῆς ἀπαράγραπτα μαρτυρήσει χρόνος, εἴπερ ἡμᾶς ὧδε μένειν καὶ ἔτι θεία κεκύρωκε ψῆφος. . .

**4** (Ἐν τῇ ἑβδόμῃ ὁμιλίᾳ φ. $131^{\beta}$–$132^{\alpha}$).

Ἐπειδὴ δέ, ἀδελφοί, καὶ ἀγὼν ἡμῖν οὐ μικρὸς πρόκειται κατὰ τῶν ἀσεβῶν, νῦν εἴπερ ποτὲ ἀναγκαῖον φανῆναι μὲν τοὺς πρώτους ἢ τὴν τῆς ψυχῆς ἀρετὴν ἢ τοῦ σώματος ῥώμην ἢ στρατηγίας ἐμπειρίαν ἢ περιουσίας εὐπορίαν πρώτους περιφανῶς καὶ ἀπαραμίλλους πρὸς τροπαίων περιδόξων ἐπίδειξιν, τοὺς δ' ἐσχάτους τῶν καθ' ἡμᾶς μὴ κατὰ τοὺς ἀγῶνας ἀπολειφθῆναι τῶν πρώτων, ἀλλὰ φιλοτίμως διαναστῆναι τῇ τῶν γενναίων ἔργῳ τροπαιουχίᾳ. Οὕτω γὰρ καὶ οἱ πρῶτοι καλῶς ἀπειληφέναι μαρτυρήσουσι τὸ πρωτεῖον ταῖς κατ' ἐξοχὴν κατ' ἐχθρῶν ἀριστείαις, καὶ οἱ ἔσχατοι λαμπρῶς εἰς τὴν τῶν πρώτων ἀναβήσονται βαθμῖδα τοῖς ἴσοις τῶν πρώτων κατορθώμασι τὴν αὐτὴν ἐκείνοις ἀνάρρησιν κομιζόμενοι.

Καὶ τοιαῦτα μὲν τὰ κατὰ τὰς ὁμιλίας, ὧν θέλω ἐκδώσει ἀργότερον τὸ ὅλον κείμενον τῆς ἐν τῷ Παρισιακῷ κώδικι 1192 εἰκοστῆς ἑβδόμης (φ. $311^{\alpha}$-$315^{\beta}$) καὶ τῆς εἰκοστῆς ἐνάτης (φ. $320^{\alpha}$-$322^{\beta}$), αἵτινες ἐκ τῶν παρὰ τῷ Omont[1] ἐκδεδομένων περιλήψεων τῶν ἐπιγραφῶν, De gratiis agendis, dicta a. 1394 καὶ De pueris Amuratis jussu raptis, dicta a. 1395, ἐμφαίνονται περιέχουσαι ἀξίαν γνώσεως ὕλην.

2. *παρίστησι* 5-6. *προυχόντων* 6. *ἑαυτῷ* 8. *θεοφιλίας* 11. *τοῦ δε' ὧδε* 14. *ἀσεβῶν* *εἴπερ ποτε* 17. *παραδόξων* 18-19. *ἀλλὰ φιλοτίμως διάναστῆναι* 21. *πρωὶ* 22. *βαθμίδα* *τῶν πρωτοκατορθώμασι*

[1] Inventaire sommaire σ. 260.

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΕΥ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Αἱ δ' ἐπιστολαὶ τοῦ Ἰσιδώρου εἶνε ὀκτὼ καὶ περιλαμβάνονται α') ἐν φ. $236^{α}$-$262^{α}$ τοῦ ὑπ' ἀριθ. 651 Vaticanus graecus, γεγραμμένου τὸν δέκατον πέμπτον αἰῶνα, περὶ οὗ καὶ ἀνωτέρω ὁ λόγος[1], β') ἐν τῷ Ἀμβροσιακῷ κώδικι J 91 inf., φ. $63^{α}$-$78^{β}$, τοῦ δεκάτου ἕκτου αἰῶνος[2], γ') ἐν τῷ Ὀττοβονιανῷ κώδικι 379 τῆς βατικανικῆς βιβλιοθήκης, φ. 146-200, τοῦ δεκάτου ἕκτου αἰῶνος[3], δ') ἐν τῷ Ἀγγελικῷ κώδικι 51 φ. $169^{α}$-$224^{β}$, γεγραμμένῳ μεταξὺ τοῦ δεκάτου ἕκτου καὶ τοῦ δεκάτου ἑβδόμου αἰῶνος, περὶ οὗ καὶ ἀνωτέρω ὁ λόγος[4]. Ταύτας δὲ παραθέτων ὅλας ἐνταῦθα, ἐπισυνάπτω ἐν τέλει τῆς ἐκδόσεως τινὰς παρατηρήσεις. Ἐλήφθησαν δ' ὑπ' ὄψιν κατὰ τὴν ἔκδοσιν μόνοι οἱ ἐν Ῥώμῃ κώδικες B (Βατικανικὸς) ὁ καὶ πάντων ἄριστος, O (Ὀττοβονιανὸς) καὶ A (Ἀγγελικός). Ὁ δὲ Ἀμβροσιακός, καθ' ὅσον δύναμαι νὰ κρίνω ἐκ μικροῦ δείγματος, δὲν παρέχει ἀξίας λόγου γραφὰς συντεινούσας εἰς βελτίωσιν τοῦ κειμένου. Ἄξιον δὲ σημειώσεως εἶνε τοῦτο, ὅτι φέρει ἐν τῇ ᾤᾳ διορθώσεις λέξεων κακῶς γεγραμμένων ἐν τῷ κειμένῳ.

[1] Ἴδε ἀνωτέρω σ. 345 σημ. 7.

[2] *Martini-Bassi* I manoscritti greci della Biblioteca Ambrosiana Τόμ. Β' σ. 1127.

[3] *Feron-Battaglini* Codices manuscripti graeci Ottoboniani Bibliothecae Vaticanae. Ἐν Ῥώμῃ 1893 σ. 193.

[4] Ἴδε ἀνωτέρω σ. 345 σημ. 9.

Ε. ΓΑ τμ. Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

# ΕΠΙΣΤΟΛΑΙ ΤΟΥ ΑΓΙΩΤΑΤΟΥ ΙΣΙΔΩΡΟΥ ΕΠΙΣΚΟΠΟΥ ΘΕΣΣΑΛΟΝΙΚΗΣ

## 1.

### Εἰς τὸν μητροπολίτην Σερρῶν κύριον Ματθαῖον τὸν Φακρασῆν

### Ἐπιστολὴ αη.

Πανιερώτατε μητροπολῖτα Σερρῶν καὶ ὑπέρτιμε, σεβασμιώτατε, θειότατε, ἐν Χριστῷ ὑπεριήδιστε καὶ ποθεινότατέ μοι πάτερ, δέσποτα, ἀδελφὲ καὶ συλλειτουργὲ, δέομαι τοῦ παναγάθου θεοῦ καὶ τὸ τίμιον καὶ θεόσωστον σῶμα τῆς σῆς ἁγιότητος κρεῖττον νόσου διατηρεῖσθαι τῆς παρὰ πολλῶν τῶν ἀφορήτων σχεδὸν αὐτῷ συμπιπτόντων ἀνιαρῶν, ὡς εἰκὸς, φυομένης. Ὑγιαίνομεν καὶ ἡμεῖς τὸ δοκοῦν. Ταῖς γὰρ κοιναῖς ἀεὶ καὶ βαρυτάταις συρρεούσαις συμφοραῖς καὶ τῷ ἄλλως ἐξιτήλῳ τῆς ἐμῆς σωματικῆς ἕξεως οὐδέποτε ἀληθῶς ὑγιαίνομεν.

Τὰ γράμματα δεξάμενοι τῆς μεγάλης ἁγιωσύνης σου ἠνιάθημέν τε ὁμοῦ καὶ ἥσθημεν. Πρὸς μὲν γὰρ τὰ τῆς αἰχμαλωσίας ἀπιδόντες δεινά, ὡς καὶ τὰ γράμματα ἐμήνυε, μᾶλλον δὲ πρὸ τῶν γραμμάτων αὐτὰ τὰ πράγματα ἐδίδασκε· τί γὰρ δουλείας, καὶ τοιαύτης, ᾗ περιπεπτώκας, ὀδυνηρότερον; σφόδρα ἐπλήγημεν τὴν καρδίαν καὶ πικρὸν ἐκ βάθους ἀνεπέμψαμεν στεναγμὸν καὶ θρηνοῦντες ἦμεν ἐπὶ μακρὸν καὶ

Ἐν τῇ ἐπιγραφῇ *Ἐπιστολαὶ τοῦ ἁγιωτάτου ἰσιδώρου ἀρχιεπισκόπου θεσσαλονίκης* A : λείπει BO

1. Ἐπιγραφή· *Εἰς τὸν μητροπολίτην σερρῶν κῦρ ματθαῖον τὸν φακρασῆν. Ἐπιστολὴ αη* A : *Τοῦ ἁγιωτάτου ἰσιδώρου ἀρχιεπισκόπου θεσσαλονίκης εἰς τὸν μητροπολίτην σερρῶν* (διορθωμένον νεωτέρᾳ χειρὶ εἰς σερρῶν) *κῦρ. ματθαῖον τὸν φακρασῆν ἐπιστολὴ αη* O : *Εἰς τὸν σερρῶν κύριον ματθαῖον τὸν φακρασῆν* B

1. *μητροπολῖτα* BOA *σερρῶν* BO : *σερρῶν ἐκ τοῦ ῥερρῶν* A 2. *θειότατε* B : *θειώτατε* OA *ποθεινότατέ* BO : *ποθεινότατε* A 5. *ἀφορήτων* BA : *ἀφορήτων* O *ἀνιαρῶν* BA : *ἀνιάρων* O 7. *συρρεούσαις* B : *συρεούσαις* O : *συρρούσαις* ἐν τῷ κειμένῳ, ἐν δὲ τῇ ᾤᾳ πρόσθετον ρ A 9. *τὰ* BA : *τα* O *σου ἠνιάθημεν* B : *σου ἠνιάθημεν* O : *ἠνιάσθημεν* A 10. *τὰ τῆς* B : *τατῆς* OA 14. *ἀνεπέμψαμεν* BO : *ἀνεπέμψαμεν* A *ἐπὶ μακρὸν* O : *ἐπιμακρὸν* BA



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΕΥΧΑΣ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

δακρύοντες. Εἰ γὰρ ἐπὶ τοῦ τυχόντος ἡμῖν ὁμοδόξου χερσὶν ἀπηνῶς ἑλκομένου πολεμίων ἐκεῖνα πάσχομεν, ὅταν ὁ βαρβάροις ἑαλωκὼς καὶ τῶν ὁμοδόξων ὁ πρῶτος ᾖ καὶ διδασκάλων, ἔτι δὲ καὶ φίλων καὶ ἀδελφῶν, οὐ τῶν ἐκ σαρκὸς καὶ γηίνης ἄλλης αἰτίας συναπτομένων, ἀλλὰ τῶν θείῳ πνεύματι συμφυομένων, ὧν ὁ δεσμὸς ἀσυγκρίτως ἐκείνου τοῦ χοϊκοῦ κρείττων καὶ ὑψηλότερος, πρὸς δὲ καὶ τῶν ἀήθων πόνοις ἐπιρρίπτειν τὸ σῶμα τραχέσι καὶ δουλικοῖς καὶ ἤθεσι βαρβαρικοῖς καὶ φωναῖς καὶ διαίτῃ προσομιλεῖν, τοὐναντίον δὲ μᾶλλον τῶν ἐλευθερίως ἐκ νέου καὶ εὐγενῶς ἄχρι πολλοῦ τῆς ἡλικίας παιδαγωγηθέντων, ὅταν τοίνυν ὁ οὕτως ἔχων ὑπὸ χεῖρα γένηται τὴν αἱμοχαρῆ καὶ ἀντίπαλον, τί λοιπὸν πάσχειν τοὺς ὑπὲρ τούτου τοιαῦτα λογιζομένους;

Ταῦτα μὲν οὖν ἡμῖν τὰ τῆς λύπης παραίτια. Πρὸς δὲ τὸν καρπὸν σκοπήσαντες, ὃν οἱ πειρασμοὶ χορηγεῖν εἰώθασι τοῖς πιεζομένοις, εἰς πνευματικὴν ἐτράπημεν ἡδονὴν καὶ τὴν πολυποίκιλον ἐδοξάσαμεν τοῦ θεοῦ σοφίαν ὅπως προσκαίρων ἕνεκα πειρασμῶν τοῖς πρὸς τούτους δυνατῶς ἔχουσιν ἄρρητα καὶ αἰώνια ἀντιδίδωσιν ἀγαθὰ καὶ ὅπως μαστιγοῖ μὲν μετρίως, εὐεργετεῖ δὲ ἀμέτρως καὶ ἀφαιρεῖ μὲν ἀξίαν καὶ ῥέουσαν δόξαν, ἀντιχορηγεῖ δὲ ὕψος θεῖον καὶ λαμπρότητα διαμένουσαν καὶ σῶμα μὲν πρὸς βραχὺ τήκει, αἰωνίως δὲ ψυχὴν λαμπρύνει καὶ ἁπλῶς ἐπάγει τὰ λυπηρά, ἵνα τὰ τέρποντα ἀντιδῷ, καθάπερ καὶ γῆν καλύπτει χιόνι καὶ εἰς ἀμορφίαν μεταποιεῖ, ἵνα μετὰ μικρὸν τῇ ποικιλομόρφῳ χροιᾷ τῶν φυτῶν λαμπρὰν ἀπεργάσηται καὶ ὡραίαν. Ὡς γὰρ ἐπὶ δένδρου, ἐπειδὰν καὶ ὑετοῖς καὶ βολαῖς ἀνέμων καὶ χιόνος προσπαλαίσῃ, τότε δείκνυται καρποφόρον, οὕτω καὶ ἐπ' ἀνθρώπου, ὁπόταν κατ' αὐτοῦ χειμῶνα ὁ θεὸς ἐπαφῇ πειρασμῶν, τότε κατάκομον τοῖς πνευματικοῖς τοῦτον προτίθησι καρποῖς. Πρὸς τοῦτο γὰρ καὶ ὁ θεῖος ἀφορῶν Ἰάκωβος «πᾶσαν, φησί, χαρὰν ἡγήσασθε, ἀδελφοί μου, ὅταν πειρασμοῖς περιπέσητε ποικίλοις» καὶ «Μακάριος ἀνήρ, ὃς ὑπομένει πειρασμόν» καὶ «Εἰ ὀνειδίζεσθε, φησὶν ὁ κορυφαῖος Πέτρος,

1. *δακρύοντες* B1 : *δακρίοντες* O  2. *ἑλκομένου* B : *ἑλκομένου* OA  *ἑαλωκὼς* B : *ἑαλωκὼς* OA  5. *ὧν* BO : *ὃς* A  6. *κρείττων* BO : *κρείττων* ἐκ τοῦ *κρείττον* A  7-8. *βαρβαρικοῖς* B : *βαρβαρικῆς* OA  8. *διαίτῃ* BO : *διαίτης* ἐκ τοῦ *δίετης* A  *τοὐναντίον* B : *τουναντίον* OA  10. *αἱμοχαρῆ* B : *αἱμοχαρῆ* OA  11. *ὑπὲρ τούτου* BO : *ὑπερτούτου* A  13. *πιεζομένοις* B : *πιαζομένοις* OA  16. *αἰώνια* BA : *αἰῶνια* O  17. *ἀφαιρεῖ* B : *ἀφαιρεῖ* OA
19. *σῶμα* BO : *σῶμα* ἐκ τοῦ *σώμα* A  *πρὸς βραχὺ* BA : *πρὸςβραχὺ* O
21 (καὶ κατωτέρω) *μεταμικρὸν* BO : *μεταμικρὸν* A  24. *προσπαλαίσῃ* BA : *προσπαλαίσῃ* ἐκ τοῦ *προσπαλέσῃ* O  27. *φησὶ* B : *φῆσιν* OA

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε. Φ. Δ. της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ἐν ὀνόματι Χριστοῦ, μακάριοι· καθὸ γὰρ κοινωνεῖτε τοῖς τοῦ Χριστοῦ παθήμασι χαίρετε, ἵνα καὶ ἐν τῇ ἀποκαλύψει τῆς δόξης αὐτοῦ χαρῆτε ἀγαλλιώμενοι. Μὴ γάρ τις ὑμῶν πασχέτω ὡς φονεὺς ἢ κλέπτης ἢ κακοποιὸς ἢ ὡς ἀλλοτριοεπίσκοπος· εἰ δὲ ὡς Χριστιανὸς μὴ αἰσχυνέσθω, δοξαζέτω δὲ τὸν θεὸν ἐν τῷ μέρει τούτῳ, ὅτι μετὰ μικρὸν κομιεῖται τὸν ἀμαράντινον τῆς δόξης στέφανον». Ταῦτα δὲ οὐ παρ' ἑαυτῶν κηρύττουσιν οἱ ἅγιοι, ἀλλὰ παρὰ τοῦ κοινοῦ παιδευθέντες διδασκάλου. Οὗτος γὰρ καὶ μακαρίους καλεῖ τοὺς ὀνειδιζομένους καὶ διωκομένους καὶ λοιδορουμένους ἕνεκεν αὐτοῦ· ἀλλὰ καὶ τὸ ὑπὲρ τῆς τοιαύτης ὕβρεως ἔπαθλον σαφέστατα προαναφωνεῖ, λέγων «Χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς. Οὕτω γὰρ ἐδίωξαν καὶ τοὺς προφήτας τοὺς πρὸ ὑμῶν». Οἱ τοίνυν <οἱ> κατὰ τὴν σὴν ἁγιότητα πάσχοντες καὶ μακάριοι καὶ κατὰ τοὺς ἄλλους προφήτας καὶ πολὺν ἕξουσιν ἐν οὐρανοῖς τὸν μισθὸν καὶ χαρὰν καὶ ἀγαλλίασιν. Πῶς οὐ χαίρειν καὶ τούτους εἰκὸς καὶ τοὺς φιλοῦντας αὐτούς; Διὰ ταῦτα ὧν τὴν μνήμην τὰ γράμματα ἔτεκε τὰ σὰ καὶ εὐφράνθημεν καὶ μακάριόν σε νομίζομεν τῶν δεσμῶν καὶ τῆς δουλείας ἧ προςπαλαίεις· δι' ἣν τῆς αἰωνίου κληρονομήσεις ἐλευθερίας σὺν τοῖς δικαίοις καὶ προφήταις. Εἰ γὰρ τοῖς πολλὰ παθοῦσιν ὑπὲρ δικαιοσύνης τῶν ἐσομένων ὁ θεὸς ἀγαθῶν κοινωνεῖ, διότι λοιπὸν τῆς ἀδιαδόχου χαρᾶς ἄξιόν σε κέκρικεν ὁ δεσπότης, διὰ τοῦτο καὶ τοῖς παροῦσιν ἐμπεσεῖν συνεχώρησε πειρασμοῖς.

Οὐκοῦν χαῖρε, σεβάσμιε δέσποτα, καὶ μὴ ἀθύμει ταῖς τῶν χαλεπῶν ἐπιφοραῖς. Εἰ γὰρ καὶ λογισμὸν ἀνθρώπινον συνεισενεγκεῖν δεῖ, ὑπὲρ τίνος λυπεῖσθαι χρὴ ὅτι δόξαν ἀνθρωπείαν ἀπώλεσας; Ἀλλ' οὐ συνδιαιωνίσειν αὕτη σοι ἔμελλε· διότι «πᾶσα, φησί, σὰρξ ὡς χόρτος καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου· ἐξηράνθη ὁ χόρτος καὶ τὸ ἄνθος αὐτοῦ ἐξέπεσε, τὸ δὲ ῥῆμα Κυρίου μένει εἰς τὸν αἰῶνα». Τοῦτο δέ ἐστι τὸ ῥῆμα τὸ εὐαγγελισθὲν εἰς ἡμᾶς ἐγὼ νομίζω, τὸ Χαίρετε καὶ ἀγαλλιᾶσθε ὅτι

4. *χριστιανὸς* BO : *χριστιανὸς* A 8. *ὀνειδιζομένους* B : *ὀνειδιζομένους* OA 8-9. *καὶ διωκομένους* B : λείπουσιν OA 10. *προαναφωνεῖ* BO : *προαναφωνεῖ* ἐκ τοῦ *προαναφωνεῖ* A 11. *οὕτω* BA : *οὕτω* O 12. *πρὸ* BO : *πρὸς* A 13. *καὶ κατὰ* BO : *καὶ* ^κατὰ^ *καὶ* A 19. *ὑπὲρ δικαιοσύνης* BO : *ὑπερδικαιοσύνης* A 21. *ἄξιόν* BO : *ἄξιον* A *διὰ τοῦτο* BO : *διατοῦτο* A, κατωτέρω δὲ συνήθως ἐν ἅπασι τοῖς κώδιξι *διατοῦτο* ἢ *διατοῦτο* 25. *ἀπώλεσας* B : *ἀπώλεσας* OA 26-27. *ὡς χόρτος καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου· ἐξηράνθη ὁ χόρτος* B : *ὡς χόρτος* OA 28. *δὲ* BA : *δὲ* O

Ε. ΓΑΣΠ. Κ. τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς. Ἄλλως τε καὶ δόξα μὲν ἄνθρωπον ἐνίοτε διαφθείρει διὰ τὸ τῆς ἀνέσεως ἀχαλίνωτον, δεσμὰ δὲ οὐδαμῶς· ὁ γὰρ ἐλευθέρως τῇδε κἀκεῖσε μεταπηδῶν ἔστιν ὅτε καὶ εἰς κρημνὸν ὀλισθαίνει, ὁ δὲ κατὰ χώραν δεσμευθεὶς οὐκέτι τὸν ὄλισθον δέδοικεν. Ἔτι δὲ καὶ δόξα ἀληθὴς ἡ τῶν ἐκλεκτῶν καὶ ἁγίων κοινωνία, δεσμὰ δὲ καὶ στρεβλώσεις καὶ λιμὸς καὶ δίψα καὶ ἄτιμοι περιαγωγαὶ τὰ τῶν ἁγίων αὐχήματα. Καὶ σὺ οὖν πληροφορήθητι, κάλλιστε δέσποτα, ὡς εἴπερ ἐκείνῃ τῇ δόξῃ τὸ ζῆν συνεμέτρεις, οὐδ' ἂν οὕτω περίδοξα ἐτύγχανε καὶ σεμνὰ τὰ κατὰ σέ, ὥσπερ ἐκ τῆς δοκούσης διαλάμπει νῦν ἀδοξίας. Ἀλλὰ λυπεῖσθαι ἔχεις ὅτι σου τῆς ζωῆς ἀφῃρέθη τι παρὰ τῶν μαστίγων; Καὶ μὴ οὐκ ἔμελλε παραρρυῆναι τῶν μαστίγων ἄνευ; Ποία γάρ φησίν ἐστιν ἡ ζωὴ ἡμῶν; ἀτμὶς γάρ ἐστιν ἡ πρὸς ὀλίγον φαινομένη, ἔπειτα ἀφανιζομένη· καίτοι γε οὐδὲ ἀφελεῖν τις δύναται τὴν ἡμετέραν ζωὴν παρὰ τὸν θεῖον ὅρον, κἂν τὰ δεινότατα ἐπινοήσῃ. Ὅθεν οὔτε τοῦ ζῆν ἐστέρησαι ταῖς μάστιξι, καὶ τούτων ἕξεις ἐκεῖ τὴν καλλίστην ἀντίδοσιν. Ἀλλὰ τροφῶν εὐχρηστοτέρων καὶ ἱματίων ἁπαλωτέρων καὶ πολλῶν ἀκολούθων λυπεῖ στέρησις; Ἀλλ' εἰ μὲν δίχα τούτων οὐδὲ ζῆν ἡμῖν προὔκειτο, ἀνιαρὸν ἦν ἂν ἡ στέρησις· νῦν δὲ ζῶμεν κἀκείνων ἀπόντων· καὶ τοῦτο δῆλον ἐκ τῶν παρόντων. Οὐκοῦν οὐ τῶν ἀναγκαίων γέγονε στέρησις, ἀλλὰ τῶν περιττῶν, ἀφ' ὧν καὶ κίνδυνος ὑφέρπει πολλάκις ἐπὶ τῆς καθ' ἡμᾶς ψυχῆς. Ἔπειτα καὶ διὰ τὴν τῶν ἐπικινδύνων τούτων στέρησιν τερπνῶν ἄλλων ἀπόκειται ἀμοιβή. Ἕως μὲν γὰρ ἂν τῶν δοκούντων ἀπολαύωμεν τερπνῶν, οὔτε τῶν ἀληθινῶν ἀξιούμεθα καὶ τοῖς λυπηροῖς περιπίπτομεν. Ἕπεσθαι γάρ φησιν τοῖς τερπνοῖς εἴωθε καὶ τὰ λυπηρά, ἀποβαλλόμενοι δὲ ἐκεῖνα τῆς ἀληθινῆς ἐπιτυγχάνομεν εὐφροσύνης. Πῶς οὖν ἐπὶ τούτοις λυπεῖσθαι δίκαιον, ἅπερ οὔτε < τὰ > παρόντα βελτίω τὴν ψυχὴν ποιεῖ καὶ ἀπόντα βασιλείαν οὐρανῶν προξενεῖ; Ἀλλ' ἀνιαρὸν ὁ τῆς δουλείας

2. *ἐνίοτε* BA : *ἐνιοτε* O  3. *τῇδε* BA : *τῇδε* ἐκ τοῦ *τῇδὲ* O  *κἀκεῖσε* BO : *κακεῖσε* O  4. *ὀλισθαίνει* BA : *ὀλισθαίνει* O  6. Μετὰ τὸ *στρεβλώσεις* ἔπονται *καὶ λιμὸς καὶ δίψα καὶ δίψα καὶ ἄτιμοι περιαγωγαὶ τὰ τῶν ἁγίων κοινων*ί διαγεγραμμένα διὰ στιγμῶν κάτωθεν A  *περιαγωγαὶ* B : *περιάγωγαὶ* OA  10. *τι* AO : *τί* A  10-11. *παρὰ τῶν μαστίγων* BA : *παρατωνμαστίγων* O  12. *φησιν ἐστιν* BOA  *προσολίγον* BOA  13. *ἔπειτα* BA : *ἔπιτα* O  14. *παρατὸν* BOA  *τὰ δεινότατα* BA : *ταδεινότατα* O  18 (καὶ κατωτέρω). *προύκειτο* BOA  *στέρησις* BO : *στέρησις* ἐκ τοῦ *στέρησεις* A  23. *ἀπολαύωμεν* B : *ἀπολάβωμεν* O : *ἀπολάβωμεν* A  24. *καὶ* BO : *καὶ καὶ* διαγραφέντος τοῦ πρώτου A  *γάρ* B : *γάρ* OA  25. *φη̃* B : *φησιν* OA  26. *ἀληθινῆς* BA : *ἀληθινῆς* O

ζυγός; Ἀλλ᾽ οὐδέν ἐστι πρὸς τὴν ἀντιμισθίαν. Οὐ γὰρ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς. Καὶ σὺ μὲν ἔοικας ἀνθρώπῳ πρὸς οἰκοδομίαν πονοῦντι καὶ πηλῷ καὶ φόρτοις ὕλων ἄλλων πιεζομένῳ, ἵνα μετ᾽ ὀλίγον λαμπρὰν οἰκίαν οἰκοδομήσῃ, ἐκεῖ ταύτῃ ἀναπαυόμενος καὶ χαίρων· οἱ δὲ μὴ κατὰ σὲ τῇ δουλείᾳ κακουχούμενοι ἀνθρώπῳ εἰσὶ παραπλήσιοι ἀπόνως ὑπνώττοντι καὶ μηδένα περὶ οἰκίας ποιουμένῳ λόγον, ὃν μετὰ βραχὺ καύσων φλογώδης καὶ κρύος ἀνύποιστον ἀφόρητα διηνεκῶς πικρανοῦσι. Τίς οὖν, εἰπέ μοι, τῶν εἰρημένων μακαριστότερος; Παντί που δῆλον ὅστις. Εἶτα οὐδὲ παρὰ τῶν ὁμοφύλων τὰ παρόντα πάσχεις ἀνιαρὰ καὶ οἰκείων, ἀλλὰ τῶν φύσει πολεμίων, ὃ δὴ καινὸν οὐδέν· λίαν μὲν γὰρ ἀλγεινὸν ἐκεῖνο, ὅταν τις παρ᾽ ὧν εὐεργετεῖσθαι ἐχρῆν τὰ τῶν ἐχθρῶν ὑπομένῃ, τὸ δὲ μαστιγοῦσθαι παρὰ τῶν ἐναντίων, τοῦτο τῶν ἀκολούθων. Πόσοι δὲ τῶν ἁγίων παρὰ τῶν ὁμοφυῶν καὶ ὁμοτρόπων καὶ πολλάκις εὖ παθόντων μάστιγας ἐκαρτέρησαν; τοῦτο γὰρ οὐ μόνον διὰ τὸν πόνον λυπεῖ τοὺς πάσχοντας, ἀλλὰ καὶ διὰ τὴν ἀπώλειαν τῶν μαστιγούντων. Ἀλλ᾽ οἶμαι καθάπερ ὅτι σε ἱκανὸν πρὸς καρτερίαν εἰδὼς ὁ θεὸς τοῖς παροῦσιν ἐπέρριψε πειρασμοῖς, οὕτως ὅτι καὶ καλὴν ἀναστροφὴν ἐν τοῖς ἔθνεσιν ἕξεις προεγνωκὼς τῆς παρ᾽ αὐτῶν συνεχώρησε πειραθῆναι μάστιγος, ἵνα ἐν ᾧ καταλαλῶσιν ὑμῶν ὡς κακοποιῶν, ἐκ τῶν καλῶν ἔργων ἐποπτεύσαντες, δοξάσωσι τὸν θεὸν ἐν ἡμέρᾳ ἐπισκοπῆς. Ὥστε καὶ ὑπὲρ τούτου δίκαιον χαίρειν καὶ τῷ θεῷ τὴν εὐχαριστίαν ἀνάγειν, ὃς πολλαχόθεν πολυπληθῆ τὰ σπέρματα τῆς πνευματικῆς καταβάλλεται καρποφορίας.

Ἀλλ᾽ οἶδα μὲν ὡς οὐ μακρὰ μόνον, ἀλλὰ καὶ περιττὰ τὰ εἰρημένα. Πρὸς γὰρ τηλικοῦτον ἰατρὸν οἷον τὴν σὴν ἱερότητα ποῖον ἄν τις δείξειε φάρμακον, ὃ μὴ ἐφευρεῖν καὶ παρ᾽ ἑαυτοῦ δύναται; Ἀλλ᾽ ὅμως τὸ πνευματικὸν καὶ πρὸς ταῦτα ἠνάγκασε φίλτρον, ἐκεῖνο λογισαμέ-

1. *ζυγός* B : *ζυγος* OA *οὐδέν* BA : *οὐδὲν* O 4. *πιεζομένῳ* B : *πιαζομένῳ* BA (καὶ κατωτέρω). *μετολίγον* BOA 5. *ταύτην* OA : *ταυτην* A *οἱ* BA : *οἷ* O 6. *εἰσὶ* O : *εἰσι* BA 7. *μεταβραχὺ* BOA 10. *οὐδὲ* BO : λείπει A
11. *φύσει* B : *φύσι* OA *δὴ* BA : *δὴν* O 12. *ὅτάν* BOA 13. *μαστιγοῦσθαι παρὰ τῶν* BA : *μαστιγουσθαι παρατῶν* O 16. *ἀπώλειαν* B : *ἀπόλειαν* OA 17. *εἰδὼς* BA : *εἰδῶς* O 19. *προεγνωκὼς* BO : *προεγνωκῶς* A
20. *καταλαλῶσιν* BO : *κατάλαλῶσιν* A 23. *πολλαχόθεν* B : *πολλαχόθε* OA
25. *μακρὰ* B : *μακρὰ* ἐκ τοῦ *μακρὰν* A : *μακρὰν* O 26. *τηλικοῦτον* BO : *τηληκοῦτον* A *ἄν* B : *ἂν* BA 27. *δείξειε* BO : *δείξειε* ἐκ τοῦ *δείξης* μεθ᾽ ὃ ε διαγεγραμμένον A

Ε. ΚΑΤΗ Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

νους ὡς καὶ ἰατροὶ τῷ κάμνοντι πολλάκις ἰατρῷ τὰ παρ' ἑαυτῶν συνεισφέρουσιν, οὐχ ὡς ἀγνοοῦντος τὴν ἰατρείαν τοῦ πάσχοντος, ἀλλ' ἵνα καὶ τὸ φιλάδελφον ἐπιδείξωνται καὶ τὸ ἐλλεῖπον διὰ τὴν νόσον ἀναπληρώσωσιν. Ὁ γὰρ κάμνων τὰ τῶν ὑγιαινόντων διασώζειν οὐ δύναται.

Περὶ δὲ τοῦ ἐν Χριστῷ ἀδελφοῦ, τοῦ παπᾶ κὺρ Θεογνώστου, ἐπειδὴ τοῖς πάντα ἀρίστοις ἁγίοις μου πατράσι καὶ συνοικῶν ἦν καὶ παρ' αὐτῶν διδασκόμενος, οὐδὲν ἐλείπετό τι πρὸς στηριγμὸν αὐτοῦ τῶν ἐξ ἡμετέρας προςθήκης· τῇ σῇ δὲ ὅμως ἐντολῇ πειθόμενοι κατὰ τὸ δυνατὸν συνεβαλλόμεθα. Περὶ δὲ τοῦ ἐξαδέλφου σου πληροφορήθητι ἐν Κυρίῳ, ὅτι οὐκ ἀφιλίας ἦν τὸ μὴ προςρήματος μνημονεῦσαι φιλικοῦ πρὸς τὴν σὴν ἱερότητα, ἀλλ' εὐλαβείας μᾶλλον καὶ αἰδοῦς. Ἐπειδὴ γὰρ οὐχ ἱκανῶς εἶχε καὶ τρόπον ἄλλον μετὰ τῆς προςρήσεως ψυχαγωγῆσαι, διὰ τοῦτο σιωπῶν ἦν, δεδιὼς μήποτε τὴν φωνὴν ἐκείνην ἀκούσῃ. Τί τὸ ὄφελος ὅταν εἴπητε Ὑπάγετε ἐν εἰρήνῃ, θερμαίνεσθε καὶ χορτάζεσθε, μὴ δότε δὲ τοῖς χρῄζουσι τὰ ἐπιτήδεια. Πλὴν εἴ τι κἀν τούτῳ ἥμαρτε, νῦν μὲν ἀξιοῖ τυχεῖν τῆς παρὰ σοῦ συγχωρήσεως, ἐφίεται δὲ καὶ κανόνα καὶ σκῶμμα ῥαστάσαι, εἴ σε μόνον ἐλεύθερον ἴδοι.

Ὁ παντοδύναμος Κύριος ἀξιώσαι ἡμᾶς ἀλλήλους ἰδεῖν ἐν πνευματικῇ εὐφροσύνῃ κατὰ τὸ πανάγιον αὐτοῦ θέλημα· αἱ ἅγιαι εὐχαὶ τῆς μεγάλης ἁγιωσύνης σου εἴησαν μεθ' ἡμῶν. Μὴ κατὰ βούλησιν δυνάμενοι καὶ ὡς ἐχρῆν ἐπὶ τοῦ παρόντος, ἀλλ' οὖν ὡς ἡμῖν δυνατόν, μικράν σοι συνεισφέρομεν παραμυθίαν μετ' εὐχῆς ὁλοψύχου· ἡ δέ ἐστι νομίσματα [τρία ;], δοθεῖσα τῷ παπᾷ κὺρ Θεογνώστῳ.

2. *ἀγνοοῦντος* **ΒΑ** : *αγνοοῦντος* **Ο** 3. *ἐπιδείξωνται* **Β**: *ἐπιδείξωμεν* **ΒΑ** 3-4. *ἀναπληρώσωσιν* **ΒΟ** : *ἀναπληρώσωσι* **Α** 4. *ὑγιαινόντων* **ΒΟ** : *ὑγιαινόντων ἐκ τοῦ ὑγιαινόντων* **Α** 6. *κὺρ* **ΒΑ** : *κυρ* **Β** Μετὰ τὸ *Θεογνώστου* ἔπονται *ἐπειδὴ τοῖς πάντα ἀρ* διαγεγραμμένα **Α** 7. *ἐπειδὴ* **Β** : *ἐπὶ δὲ* **Α** 8. *ἐλείπετό τι* **ΒΟ** : *ἐλείπετο* **Α** 9. *τῶν* **ΒΑ** : *τὸν* **Ο** 11. *ἀφιλίας* **ΒΑ** : *αφιλίας* **Ο** *προσρήματος* **Β** : *πρὸς ῥήματος* **ΟΑ** 15. *ὑπάγετε* **ΒΑ** : *ὕπαγετε* **Ο** 16. *δότε* **ΟΑ** : *δῶτε* **Β** *ἐπιτήδεια* **ΒΑ** : *ἐπιτήδια* **Ο** 17. *κἀν* **Β** : *κἂν* **ΟΑ** *ἥμαρτε* **Β** : *ἥμαρτεν* **ΟΑ** 18. *σκῶμμα* **ΒΟ** : *σῶμα* **Α** 19. *ἴδοι* **ΒΟ** : *εἴδ* (διαγεγραμμένον) *ἴδοι* **Α** 20. *κύριος ἀξιώσαι* **ΒΟ** : *θεὸς ἀξιώσαι* **Α** 23. *ἡμῖν* **ΒΑ** : *ἡμιν* **Ο** 24. *ἡ δὲ* **ΒΟ** : *εἰδὲ ἐστὶ* (διαγεγραμμένα) *ἡ δὲ* **Α** 25. *τρία* ἔγραψα· κενὸν ὡσεὶ τεσσάρων γραμμάτων **Β** : λείπει ὅλως ἄνευ κενοῦ **ΟΑ**

## 2.

### Εἰς τὸν κῦρ Φιλόθεον τὸν Νεαμονίτην.

Ἄνθρωπε τοῦ θεοῦ, ἠγαπημένε μοι ἐν Χριστῷ κῦρ Φιλόθεε, τὸ συμβὰν ἤδη τῇ σῇ ἀγάπῃ μέσης ἡμῶν πίστευσον καθήψατο τῆς καρδίας καὶ ὑπερβαλλόντως ἐλύπησε· πλὴν ὡς θεοῦ συγχωρήσαντος φέρομεν, κἂν ἀνιαρώτατον εἶναι δοκῇ καὶ πικρότατον, εἰδότες, ὅτι τὰ ἐκ θεοῦ πάντα λυσιτελῆ ἐστι καὶ συμφέροντα, εἰ καὶ μεθ' ὑπερβολῆς ἔχει τὸ ἀηδὲς καὶ ἐπώδυνον. Ἐνθυμίζω δὲ πρῶτον τὴν σὴν ἀγάπην, ὅτι ἡ κατὰ Κύριον συνοῦσά σοι συνοδία καὶ ὑπὲρ τοὺς ἄλλους ἀνιῶνται καὶ ὑπὲρ πάντας ποθοῦσι καὶ σπουδάζουσι τὴν σὴν ὑγείαν καί, εἰ ἦν δυνατὸν εἰς ὑγείαν σε ἐπανελθεῖν, εἴπερ ἕκαστος αὐτῶν ἀφελών τι τῶν ἑαυτοῦ μελῶν προσέθηκε τῇ σῇ ἀγάπῃ, μετὰ πολλῆς ἂν καὶ τοῦτο ἐποίησαν προθυμίας καὶ χαρᾶς. Οὕτω σε φιλοῦσιν· οὕτω τὴν σὴν ποθοῦσιν ὑγείαν, ἐπείπερ τὸ ζημιωθῆναί σε μέλους ἐστὶν αὐτοῖς σχεδὸν ἀφαίρεσις τοῦ ἀναγκαιοτάτου. Τοῦτο καὶ αὐτὸς εἰδώς, ἀδελφέ, ἡδέως δέχου τὰ παρ' αὐτῶν γινόμενα, κἂν χεῖρας δήσωσι, κἂν πόδας, κἂν ὅλον καθείρξωσι, κἂν ὁτιοῦν ἄλλο τῶν ἀηδῶν ἐνδείξωνται. Ταῦτα γὰρ οὐκ ἀπὸ γνώμης ἐχθραινούσης, ἀλλὰ καὶ λίαν φιλούσης. Ἐξάγει δὲ αὐτοὺς εἰς τοῦτο ἡ τῆς νόσου τυραννίς, ὅτι τοιούτων αὐτὴ δεῖται φαρμάκων καὶ οὐκ ἄλλων καὶ ὡς, ἐὰν μὴ ταῦτα γένηται, οὐκέτι τὴν σὴν ἐπανελθεῖν ἐλπίσουσιν ὑγείαν, οὐκέτι ζῶντα τὸν καλὸν ἕξουσι Φιλόθεον. Μὴ λυποῦ τοίνυν διὰ ταῦτα, ὅταν, μικρὸν ὑποχωρούσης τῆς νόσου, τῶν λυπηρῶν ἐκείνων εἰς αἴσθησιν ἔρχῃ, φίλει δὲ μᾶλλον τοὺς ἀδελφοὺς τῆς σῆς κηδεμονίας ἕνεκεν, καὶ τῷ θεῷ χάριτας ὁμολόγει, ὅτι τοιούτων ἔτυχες ἀδελφῶν, ὧν ἀπόντων ἄλλο τι συνήντησεν ἄν σοι βαρύτατον. Ταύτην οὖν περὶ τῆς σῆς θεοφιλοῦς συνοδίας ἔχε τὴν δόξαν, ἐμοὶ πειθόμενος, ἀγαπητὲ ἀδελφέ.

2. Ἐν τῇ ἐπιγραφῇ : *Εἰς τὸν* BA : *Ἐπιστολὴ εἰς τὸν* O
1. *ἠγαπημένε* BA : *ἠγαπημένε* O 4. *ἀνιαρώτατον* B : *ἀνιάρώτατον* OA
5. *ὑπερβολῆς* BA : *υπερβολῆς* O 7. *συνοῦσα* BOA 8. *ὑγείαν* B : *ὑγίαν* OA
10. *τῇ σῇ* BA : *τησῇ* O *μετὰ πολλῆς* BO : *μεταπολλῆς* A 12. *ζημιωθῆναι* BOA 13. *ἡδέως* BA : *ἠδέως* O 15. *ὁτιοῦν* BO : *ότιοῦν* A : *ὅτιοῦν* O
16. *ἀπὸ γνώμης* BA : *ἀπογνώμης* O 18. *ἐὰν* B : *ἐὰν* OA 19. *τὸν καλὸν* BO : *τὸν καλὸν ἐκ τοῦ τῶν καλῶν* A *ἕξουσι* BA : *ἔξουσι* O 21. *αἴσθησιν* BA : *αἴσθησην* O 23. *ἔτυχες* ἔγραψα : *ἔτυχεν* BOA *ἄλλο* BOA

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ: ΕΠΙ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΙΩΑΝΝΙΝΑ 2006

Ἐνθυμίζω δὲ καὶ τοῦτο, ὅτι μὴ πολλὴν ἔχε τὴν ἀθυμίαν μηδὲ σφόδρα καταβαπτίζου τοῖς τῆς λύπης λογισμοῖς. Τὸ γὰρ ὑπερβάλλον τῆς λύπης ἱκανόν ἐστι καὶ μόνον νόσον ἐπενεγκεῖν. Ἐγὼ καὶ τοῦτο νομίζω ὡς αὕτη ἡ νόσος ἐκ μικροψυχίας σοι προσέβαλε καὶ πολλῆς ἀθυμίας. Οἶδας γὰρ ὅσα δυσανασχετῶν καὶ βαρυθυμῶν ἔλεγες, ὅτι οὐ δύνασαι φέρειν τὰς τῶν νόσων αἵ σε κατέσχον ἐπιφοράς, ὅτι ἀπώλετο ἡ συνοδία σου, μὴ ἔχουσα τὸν προστατοῦντα, ὅτι ὁ Χαλκηδόνος ὁ ἅγιος καταλυθῆναι τὴν συνοδίαν παραίτιος γέγονε. Ταῦτα ἐκ βάθους καρδίας ἔλεγες ἀθυμῶν καὶ τὸ πολὺ τῆς ἀθυμίας τὴν νόσον, οἶμαι, ταύτην ἔτεκεν. Εἰ οὖν ἐξ ἀθυμίας ἡ νόσος, φεύγειν χρὴ λοιπὸν τὴν ἀθυμίαν, ἵν' εἰς ὑγείαν ἐπανέλθῃς. Τίς δὲ οἶδε μήποτε καὶ θεὸς ἠγανάκτησεν, ἁγίου ἀνδρός, τοῦ Χαλκηδόνος, γογγυζομένου. Ἀλλ' ὅμως ὁθενδήποτε ἡ νόσος, εὐχαριστεῖν δεῖ τῷ θεῷ. Εἰ μὲν γὰρ πάντῃ ἦν ἡ νόσος ἀκερδὴς καὶ μὴ εἰς τέλος ἔμελλε λήξειν χρηστόν, ἀφόρητον ἔδει σοι πάντως εἶναι τὴν λύπην. Ἐπεὶ δὲ καὶ πρὸς κέρδος καὶ πέρας ἡ νόσος χρηστὸν ἀφορᾷ, οὐκ ἐπαινετὸν οὐδὲ ἀσφαλὲς καταβαπτίζεσθαί σε τῇ λύπῃ. Καὶ ποῖον ἐρεῖς ἐκ τούτου τὸ κέρδος; Ἐγώ σοι λέγω· τὰ τοῖς δικαίοις ἀποκείμενα ἀγαθά. Εἶτα οὐδὲ ἀνέλπιστος ἡ ὑγεία. Πολλοὺς γὰρ συνειδέναι ἔχομεν, ὅσοι πάθους ἀπηλλάγησαν τοιούτου. Ἔνι δὲ σὺν θεῷ τὴν ὑγείαν ἰδεῖν, εἰ παύσῃ κλαίων ἄμετρα καὶ ἀθυμῶν. Εἰ γὰρ μικρὸν ἐπανερχομένης σοι τῆς αἰσθήσεως πρὸς πένθος χωρεῖς καὶ ἀθυμίαν ἄμετρον, ἀθυμία δὲ προσθήκη τῆς νόσου, πότε λοιπὸν τὴν ὑγείαν ὄψει; Δέδοικα μὴ καὶ ὅτι νοσεῖς αὐτὸς δόξῃς αἴτιος τοῖς πολλοῖς καὶ οὐκ ἄλλος, καί σε κατακρίνωσιν ὡς τῆς νόσου ταύτης δημιουργόν, κἀντεῦθεν καὶ τὸν οἶκτον σβέσῃς καὶ τὴν συμπάθειαν, ἣν μόνῳ πάντες σοι συνεισφέρομεν. Εἰ γὰρ ἔμελλες μὴ ἀθυμῶν ὑγείαν εὑρεῖν, σὺ δὲ οὐ παύῃ τῇ ἀθυμίᾳ χρώμενος, πῶς οὐκ αὐτὸς τῆς νόσου παραίτιος; Καὶ σὺ μὲν ἀθυμεῖς καὶ ὑπὲρ μέτρον λυπῇ διότι νοσεῖς· πενθῶν

1. *πολὴν* ΒΟ : *πολὲν* Β (καὶ πανταχοῦ). *μηδὲ* ΒΟΑ 3. *ἐγὼ* Β : *ἐγῶ* ἐκ τοῦ *ἐγῶ* ΟΑ : 4. *προσέβαλλε* ΒΟΑ 5. *ἀθυμίας* ΒΟ : *ἀθυμίας* ἐκ τοῦ *ἀθημίας* Α *ἔλεγες* ΒΑ : *ἔλλγες* Α 6. *φέρειν* Β : *φαίρειν* ΟΑ *ἀπώλετο* ΒΟ : *ἀπόλετο* Α 8. *βάθους* ΒΟ : *βαθους* Α 10. *ἐξ ἀθυμίας* ΒΑ : *ἐξαθυμίας* Ο 11. *θεὸς ἠγανάκτησεν* Β : *ὁ θεὸς ἠγανάκτησεν* ΟΑ 12. *γογγυζομένου* ΒΑ : *γογγιζομένου* Ο 13. *ὁθενδήποτε* ΟΑ : *ὅθενδήποτε* Β *πάντη* ΒΟ : *πάντα* Α 14. (καὶ 16). *χρηστὸν* Β : *χριστὸν* ΟΑ 17-18. *τὰ τοῖς* Β : *τατοῖς* ΟΑ 18. *οὐδὲ* ΒΑ : *οὐδε* Ο *ἡ* ΒΟ : *ἡ* ἐκ τοῦ *ἡ* Α 20. *σὺν θεῷ* ΒΟ : *συνθεῷ* Α 22. *προσθήκη* ΒΟ : *πρόσθήκη* Α 25. *τὸν οἶκτον* ΒΑ : *τονοίκτον* Ο *μόνῳ* ἔγραψα : *μόνον* ΒΟΑ

δὲ παρὰ τὸ μέτρον καὶ δυσθυμῶν μᾶλλον νοσεῖς. Πότε οὖν τὴν ὑγείαν ἕξεις; Ἀλλὰ τοῦτό σε λυπεῖ, ὅτι λύσιν οὐκ ἐλπίζεις τῆς νόσου; Καὶ μὴν οὐκ ἔχεις τὸ μὴ λυθῆναι βέβαιον. Εἶτα ἀφ᾿ ὧν μέν σοι παραινοῦμεν ἔσται θεοῦ διδόντος ἡ λύσις, ἀφ᾿ ὧν δὲ κατὰ σαυτοῦ πράττεις δυσέλπιστος ἡ λύσις. Ὑποκείσθω δὲ ὅτι καὶ ἀνέλπιστος ἡ ἴασις. Ἆρ᾿ οὖν ἄμετρα διὰ τοῦτο λυπεῖσθαι χρή; Ἐμοὶ δοκεῖν οὐδαμῶς, διότι μέγα τὸ ἐσόμενον ἐκ τούτου κέρδος, οἷον καὶ Λάζαρος εὗρεν ὁ πτωχὸς καὶ ἀνέστιος καὶ μηδὲ μέχρι τῶν εὐτελῶν ψιχίων εὐπορῶν καὶ Ἰὼβ ὁ πολὺς τὴν καρτερίαν ἐν συμφοραῖς καὶ ἄλλοι τῶν ἁγίων οὐκ ὀλίγοι. Τίς δὲ πενθεῖ, πλούτου τυχεῖν προσδοκῶν, ἢ τίς ἀθυμεῖ γεωργός, δαψιλεῖς ἐλπίζων ἰδεῖν τοὺς καρπούς; Καὶ εἰ μὲν δι᾿ ἐξάλειψιν ἡ νόσος ἁμαρτημάτων, χαίρειν καὶ διὰ τοῦτο χρή, ὅτι καταδίκης ἐρρύσθης, ὅτι γεέννης ἀπηλλάγης. Τί δὲ οὐκ ἂν εἵλετό τις τῶν νοῦν ἐχόντων ὑπὲρ τοῦ βάσανον φυγεῖν αἰώνιον; Εἰ δὲ καὶ πρὸς τῷ καθᾶραι ῥύπους καὶ γεέννης λῦσαι, ἔτι καὶ βασιλείαν ἡ νόσος οὐρανῶν προξενήσει, τί τούτου τερπνότερον γένοιτ᾿ ἄν; Ἀλλ᾿ οὐχ ὁ Λάζαρός φησιν ἐκεῖνος οὐδ᾿ ὁ Ἰὼβ ἔπαθέ τι τοιοῦτον οἷον νῦν ἐλεεινῶς πέπονθεν ὁ Φιλόθεος. Ἐκεῖνοι μὲν γὰρ καὶ τοῦ πάθους αἴσθησιν εἶχον καὶ παραμυθίας παρὰ τῶν συμπαθῶν ἐδέχοντο ῥήματα· οὗτος δὲ καὶ πάσχων ἀναισθητεῖ καὶ πρὸς πάντα κωφός ἐστι τὰ ῥήματα. Τί λέγεις, ἄνθρωπε; Διὰ τοῦτο μάλιστα κουφότερά ἐστιν ἐκείνων τὰ σά. Ὁ πόνος γὰρ τῶν αἰσθανομένων ἐστίν, οὐ τῶν ἀναισθήτων, καὶ ὅσον αἰσθήσεώς τις μετέχει πλείονος, τοσοῦτον αἰσθάνεται καὶ τῶν ἀλγεινῶν. Καὶ ὁ ἱερὰ γὰρ προσπαλαίων νόσῳ, εἰ πρὸς τὰς πληγὰς ἀναισθήτως εἶχε καὶ ἀθεάτως, κουφότερον ἂν ἡγεῖτο τὸ πάθος. Καθάπερ γὰρ καὶ ἡμεῖς μᾶλλον δακρύομεν τοὺς οἰκείους ὁρῶντες πάσχοντας ἢ οὐχ ὁρῶντες, οὕτω καὶ εἰς ἑαυτὸν ἕκαστος αἰσθανόμενος μὲν μεῖζον ἐν ταῖς νόσοις ἀλγεῖ, ἀναισθητῶν δὲ οὐ τοσοῦτον. Εἰ δὲ καὶ τῶν ἁγίων ἐκείνων τὸ πάθος ἀνιαρώτερον τὸ σόν, ἡδονῆς ἀφορμὴ καὶ τοῦτο μεγίστης. Εἰ γὰρ ἡ νόσος

1. *τὸ μέτρον* B : *τομέτρον* OA 2. *ἕξεις* BA : *ἕξεις* O *τοῦτο* BOA 5. *ὑποκείσθω* BA : *υποκείσθω* O 6. *διατοῦτο* A : *διατοῦτο* BO 7. *πτωχὸς* B : *πτοχὸς* OA 8. *ψιχίων* BO : *ψυχίων* A 9. *οὐκ ὀλίγοι* BA : *οὐκολίγοι* O 12. *χρὴ* B : *χρῆ* A 13. *εἵλετό* B : *εἵλετό* OA 14. *βάσανον* B : *βασάνον* BA 15. *βασιλείαν* B : *βασιλεῖαν* OA 16. *ὁ* BA : *ο* O *λάζαρός φησιν ἐκεῖνος οὐδ᾿ ὁ ἰὼβ ἔπαθέ* O : *λάζαρος φησὶν ἐκεῖνος οὐδ᾿ ὁ ἰὼβ ἔπαθε* B : *λάζαρός τι* A 17. *νῦν* BA : *λείπει* O 21. *μάλιστα* BA : *μᾶλλοστα ἐκ τοῦ μᾶλλον* O *ἐστιν* BA : *εστιν* O 23. *τοσοῦτον* BA : *τόσοῦτον* O

ἀγαθοῦ πρόξενος, ὅσον ἡ νόσος μείζων, τοσοῦτον ἔσται πλείω τὰ ἀγαθά· ἐπ᾽ ἐλπίδι δὲ πλειόνων ἀγαθῶν μεῖζον καὶ χαίρειν χρή. Οὐκοῦν εἰ μᾶλλον ἐκείνων νοσεῖς τῶν ἁγίων, πλείστους προςδόκα καὶ τοὺς καρπούς· πλείστων δὲ ἕνεκεν καρπῶν οὐκ ἀθυμεῖν προςήκει καὶ ἀνιᾶσθαι, ἀλλὰ τέρπεσθαι καὶ χαίρειν. Ἀλλ᾽ αἰσχρόν ἐστιν ἡ νόσος φησὶν ἡ ἐμή, ὅτι καὶ ἱμάτια ἀποδύομαι καὶ γυμνὸν ἐμαυτὸν προτίθημι, θέαμα τοῖς ὁρῶσιν ἐλεεινόν. Οὐκ ἔστι τοῦτο, οὐκ ἔστιν αἰσχρόν, ἀγαπητέ. Αἰσχρὸν γάρ ἐστιν ὃ καὶ νόμοι κολάζουσι καὶ ἄνθρωποι μισοῦσιν· ὑπὲρ οὗ δὲ συμπάσχουσιν ἄνθρωποι καὶ δακρύουσιν, οὐκ ἂν αἰσχρὸν εἴποι τις ὑγιαίνων τὸν νοῦν. Οὐδὲ γὰρ τὸν ἀπὸ ναυαγίου τοῖς κύμασι προςκρουόμενον αἰσχρὸν φαίη τις ἂν ποιεῖν ἢ πάσχειν, ὅτι γυμνὸς παλαίει τῷ κλύδωνι καὶ ἐπὶ θαλάσσης ἀτάκτως τῇδε κἀκεῖσε φέρεται. ἐλεεῖ δὲ μᾶλλον ἅπας καὶ χεῖρα, εἰ δυνατὸν, ὀρέγει, ἐπιχειρῶν ἁρπάσαι τοῦ κινδύνου τὸν ἄνθρωπον. Τοιοῦτον, ἄνθρωπε τοῦ θεοῦ, καὶ περὶ σοῦ νόμιζε. Ἀλλὰ πικραίνω, φησί, τοὺς ἀδελφοὺς κάμνοντας δι᾽ ἐμὲ καὶ τῶν κατ᾽ εὐχὴν ἢ χρείαν ἄλλην ἀφισταμένους. Οὐ τοῦτο πικρία τοῖς ἀδελφοῖς, ὦ βέλτιστε· πικρὸν ὅτι νοσεῖς, πικρὸν ὅτι τὴν νόσον ἀθυμῶν ἐπιτείνεις, ἐκεῖνο δὲ οὐ πικρόν. Καὶ πόθεν δῆλον; Ὅτι χαίρουσι προςιόντες σοι καὶ θεραπεύοντες, ἀνιῶνται δὲ ἀπωθούμενοί καί σου τὰ πρὸς θεραπείαν ἐκσφενδονῶντος. Ὃ γάρ τις οἴεται πικρὸν, τοῦτο μισεῖ καὶ ἀποπτύει· ᾧ δὲ καὶ προςεγγίζειν ἐφίεται καὶ καταψᾶν καὶ θεραπεύειν, πρὸς τοῦτο τίνα ἂν ἔχοι τὴν ἀηδίαν; Οὐκοῦν εἰ πικρὸν ἐδόκει τοῦτο τοῖς ἀδελφοῖς, οὐδένα ἂν ὁρᾶν εἶχες ἐγγὺς, οὐδένα εἶδές σοι προςιόντα, οὐδένα εὗρες θεραπευτὴν, οὐδεὶς ἡμέροις σοι προςδιελέγετο ῥήμασιν, οὐδεὶς χορηγῶν ἐτύγχανε τῶν πρὸς θεραπείαν. Νῦν δὲ καὶ εἰ τοὺς ὀφθαλμοὺς αὐτὸν ἐξορύξαι προὔκειτο τῆς σῆς ἕνεκεν ὑγείας, οὐδ᾽ ἂν καὶ τούτων ἐφείσαντο. Οὕτω σου περικαίονται, οὕτω πνευματικαῖς αὐτοὺς συνέδησας ἴυγξι καὶ πάντα δρᾶσαι καὶ παθεῖν ἑτοίμως ἔχουσιν ὑπὲρ σοῦ. Ἔπειτα, εἰ τούτους ἀνιᾶσθαι νομί-

1. *ὅσον ἡ νόσος μείζων* BO : λείπουσιν A τοσοῦτον BA : τόσοῦτον O τὰ BA : τα O 2. *χρή* BO : *χρὴ* ἐκ τοῦ *χρῆ* A 3. *ἐκείνων* BO : *ἐκεινων* ἐκ τοῦ *ἐκεῖνον* A 4. *οὐκ ἀθυμεῖν* BA : *οὐκαθυμεῖν* O 6. *ἐμαυτὸν* B : *ἐμαυτον* OA 11. τις A : τίς O : τὶς B 13. *ὀρέγει* BA : *ὀρέγει* O 17. *ἀδελφοῖς ὦ* BO : *αδελφοῖς ὦ* A 20. *ἐκσφενδονοῦντος* BOA 24. *εἶδες* BOA

25. *χροσδιλλέγετο* A : *προδιελέγετο* B : *προδιλλέγετο* O 25-26. *οὐδεὶς χορηγῶν—καὶ εἰ* B : λείπουσιν OA 26. *ὀφθαλμοὺς αὐτῶν* B : *ὀφθαλμοὺς αὐτόν* OA *ἐξορύξαι* BOA 26-27. *ἕνεκεν* BA : *ἕνεκεν* O 27. *περικαίονται* ἐκ τοῦ *περικαίωνται* B : *περικαίονται* OA 28. *δράσαι* BOA 29. *ἔπειτα* BA : *ἔπιτα* O

ζεις, ὅτι περὶ σὲ κάμνουσι, σκοπεῖν ἄρα χρὴ τί ἂν ἐκείνους εὐφρανεῖς ποιῶν; Ἡδονὴ δὲ αὐτοῖς ἁπασῶν ἡ μείζων τὸ μὴ καταπίπτειν σε ἀθυμοῦντα μηδὲ λύπης ἀμετρίᾳ καταβαπτίζεσθαι.

Ταῦτά σοι, φίλτατε Φιλόθεε, τὰ ἐμά, καί, εἴ μοι πείθῃ, χρηστῷ γε ὄντι συμβούλῳ, τὸ πολὺ μὲν ἄφες τῆς ἀθυμίας, τὸν θεὸν δὲ πάντων ἕνεκεν δόξασον, εἰδὼς τὸ τοῦ μακαρίου Παύλου, ὡς οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς, καὶ ὅταν σαυτὸν ὁρᾷς ἐν αἰσθήσει, μίαν ἄπαυστον ἔχε μελέτην, τὸ Κύριε Ἰησοῦ Χριστέ, υἱὲ τοῦ θεοῦ, ἐλέησόν με. Ὃς ἐλεήσαι καὶ τῆς νόσου τὸν ἐμὸν ἀπαλλάξαι Φιλόθεον χάριτι μὲν αὐτοῦ τοῦ κοινοῦ Σωτῆρος, πάντων δὲ πρεσβείᾳ τῶν ἁγίων, ὧν ἐκ ψυχῆς ὑπὲρ σοῦ δεῖται ὁ σφόδρα σε φιλῶν Θεσσαλονίκης εὐτελὴς Ἰσίδωρος.

## *3.*

### *Εἰς τὸν αὐτόν.*

Ἄνθρωπε τοῦ θεοῦ, ἀγαπητέ μοι ἐν Χριστῷ κύριε Φιλόθεε, ἔγραψα πρὸ μικροῦ ὅπερ οἶδας, ἐνόμισα δὲ ἱκανὸν ἐκεῖνο, καὶ τὸ πολὺ τῆς ἀθυμίας περιελεῖν καί σε τῆς νόσου μικρὸν ἐξελεῖν. Ἀλλ᾽ εἰ καὶ μὴ κατ᾽ ἐλπίδας ἐκεῖθεν ἐξέβη τὰ κατὰ σέ, ἀλλὰ τῇ τοῦ θεοῦ χάριτι οὐ πάντῃ τὰ τῶν ἐλπίδων ἀπέσβη. Νῦν γὰρ καὶ τὸ σφοδρόν, ὡς ἤκουσα, ἐλώφησε τῆς νόσου καὶ ἡ ἐπιθολοῦσα τὸ ἡγεμονικὸν αἰτία οὐκ εἰς μακρὸν παραμένει, καὶ ἡ αἴσθησις θᾶττον καὶ κάλλιον ἐπανέρχεται. Καὶ ὁ μὲν θεὸς τῇ οἰκείᾳ χρώμενος ἀγαθότητι οὕτω τὴν μάστιγα ἐλαττοῖ· σὺ δὲ τὴν ἀθυμίαν· δεδήλωται γάρ μοι καὶ τοῦτο· οὐκ ἀνακόπτεις, ἀλλ᾽ ἐπιτείνεις. Ἐχρῆν δέ σε ποιεῖν οὐχ οὕτως, ἀλλὰ κατὰ τὴν τῆς μάστιγος ἀφαίρεσιν καὶ τὴν ἀθυμίαν ἀφαιρεῖν, ἵν᾽ ἐκείνης

6. *οὐκ ἄξια* B : *οὐκάξια* OA   8. *σαυτὸν* B : *αὐτόν* OA   *ἐν αἰσθήσει* B : *ἐναισθήσει* OA   9. *ὅς* B : *ὃ* OA   11-12. *ὑπὲρ σοῦ* BA : *ὑπερσοῦ* O

**3.** Ἐν τῇ ἐπιγραφῇ *Εἰς τὸν αὐτὸν* B : *Ἐπιστολὴ εἰς τὸν αὐτὸν* O : λείπουσιν A

15. *κύριε* BO : *κῦρ* A   17. *περιελεῖν* B : *περιέλεῖν* ἐκ τοῦ *περιέλεῖν* A : *περιέλεῖν* O   18. *κατ᾽ ἐλπίδας* B : *κατελπίδας* OA   21. *θᾶττον* A : *θάττον* OA   22. *οὕτω* BO : *οὕτω* (διαγεγραμμένον) *οὕτω* A   23. *γάρ* BA : *γὰρ* O

24. *ἀνακόπτεις* O : *ανακόπτεις* OA

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΘΕΩΡΗΤΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
Επ.Α της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἀναιρεθείσης καὶ ἡ ἀθυμία συναναιρεθῇ· μᾶλλον δὲ τὸ ἀκολουθότερον τοῦτο ἦν, τὴν ἀθυμίαν πρότερον ἐλαττοῦσθαι καὶ μετὰ τοῦτο σβέννυσθαι καὶ τὴν νόσον. Τὸ μὲν γὰρ ἐστιν ἐφ' ἡμῖν, λέγω δὲ τὸ στῆσαι τὴν ἀθυμίαν, ἐκεῖνο δὲ οὐχ ἡμέτερον. Ἃ δὲ ἔξεστι τῶν ἀγαθῶν, ποιούντων ἡμῶν, καὶ τὰ οὐκ ἐφ' ἡμῖν ὁ μόνος φιλάνθρωπος συνεισφέρει, εἶτα καὶ ἀποῦσαν φέρει πολλάκις ἀθυμία τὴν νόσον καὶ παροῦσαν ἐπὶ μεῖζον αἴρει. Εἰ δὲ τῆς νόσου παραίτιον ἀθυμία, ταύτην δὲ στῆσαι τῶν ἐφ' ἡμῖν, καὶ ἐπειδὰν τὰ παρ' ἑαυτῶν εἰσφέρωμεν, καὶ ὁ θεός, ὡς ἔφημεν, τὰ ἑαυτοῦ συνεισφέρει καὶ ἡμῖν φιλανθρώπως ἐπινεύει, τὰ οὐκ ἐφ' ἡμῖν ἀγαθὰ χαριζόμενος, ἔδει τὸ τὴν μάστιγα τίκτον ἐξωθεῖν, ὅτι καὶ ἡμῖν δυνατόν, ἵνα τὸν πόνον φύγωμεν. Νῦν δὲ σὺ μὲν ἃ ποιεῖν ἔδει καὶ δυνατῶς ἔχεις οὐ ποιεῖς· δέον δὲ τὸν θεὸν ἀγανακτῆσαι διὰ ταῦτα καὶ τὴν νόσον ἐπιτεῖναι, ὁ δὲ μόνῃ κινούμενος ἀγαθότητι, τοὐναντίον καὶ ἵλεως γέγονε καὶ κουφοτέραν τὴν μάστιγα πεποίηκεν. Εἰ δὲ σοῦ παρορῶντος τὰ δέοντα, οὕτως ἐκεῖνος εὐμενὴς δείκνυται, τίνων οὐκ ἂν ἔτυχες δωρεῶν, τὰ δέοντα διασώζων; Ὅτι δὲ καὶ ἡ νόσος, καθὰ σοι τοῖς προτέροις δεδήλωκα γράμμασιν, ἀγαθότητος ἦν καὶ εὐμενείας, οὐκ ἀγανακτήσεως καὶ ἀπειλῆς, ἐκ τῶν παρόντων γίνεται δῆλον. Εἰ γὰρ βάρους ἦν ἐκείνη καὶ ὀργῆς, οὐδ' ἂν ἠλαττοῦτο, σοῦ μηδὲν πρὸς ἐλάττωσιν συνεργοῦντος. Ἀλλ' ὅτι φιλανθρωπίας ἦν καὶ ἐξ ὑπερβαλλούσης ἀνθ' ὧν ἐπιτείνεσθαι προσῆκεν, ἐνταῦθα μάλιστα πρὸς μείωσιν καὶ λῆξιν χωρεῖ. Ὁρᾷς ὅπως ἐκ κηδεμονίας ἡ νόσος, καὶ εἰ τὴν παρὰ σαυτοῦ συντέλειαν συνεισέφερες, τάχιστα ἂν καὶ τὴν ἴασιν εὕρισκες; Ἀλλ' ἴσως ἐρεῖς, ὅτι καὶ πῶς ἂν ἀδακρυτὶ τοσοῦτον ἐνέγκω πάθος; Γλώττης πεπέδηται διακονία, ἀκοὴ πρὸς πᾶσαν ἐκκεκώφωται φωνήν, ἐγκέφαλος σέσεισται, νοῦς οὐχ ὑγιαίνει, ὡς πρὸς ἀλλόκοτα φάσματα πολεμίου δίκην ἀνθοπλίζομαι, τῇδε κἀκεῖσε μαχόμενος καὶ διαπηδῶν ἀτάκτως. Μικρὰ ταῦτα καὶ οὐ δακρύων ἄξια; Εἰ γὰρ λίθος ἦν, εἰ γὰρ δρῦς, εἰ γὰρ ἄλλο τι τῶν ἀναισθήτων, τότε ἂν τὴν τοσαύτην εἰ-

1. *τὸ ἀκολουθότερον* BA : *τοακολουθότερον* O 3. *γάρ* B : *γὰρ* OA 4-5. *ποιούντων* BA : *ποιούντων* ἐκ τοῦ *ποιοῦντων* O 5. *καὶ* BO : *καὶ* (διαγεγραμμένον) *καὶ* A 6. *τὴν νόσον* BA : *τηννόσον* O 7. *μεῖζον* BA : *μεῖζον* O 8. *τὰ παρ'* BA : *ταπαρ'* O 10. *τίκτον* BOA 12. *δυνατῶς* B : *δυνατὸς* OA 15. *σοῦ* B : *σου* OA *δέοντα* BO : *δέονται* A *εὐμενὴς* BA : *εὐμενῆς* O 19. *ἠλαττοῦτο* B : *ἠλαττοῦτο* OA 20. *ἐλάττωσιν* BO : *ἐλάττωσιν* A *ἀλλ' ὅτι* B : *ἀλλότι* OA 22-23. *παρὰ σαυτοῦ* B : *παρασαυτοῦ* A' 23. *καὶ τὴν* BO : *καιτὴν* A 29. *ἄλλό* BA : *ἀλό* O. συνήθως δὲ καὶ ἐν τοῖς τρισὶ κώδιξιν *ἄλλό* *ἀναισθήτων* BO : *ἀναισθήτων* ἐκ τοῦ *ἀνεσθήτων* A *ἂν* BA : *ἄν* O

ΙΩΑΝΝΙΝΑ 2006

χον ἐνεγκεῖν συμφοράν. Ἀληθῆ ταῦτα, ἀγαπητέ, καὶ μέγα τὸ συμβάν, καὶ ὁ ἀντιλέγων οὐδείς, ὅτι καὶ ὀργάνων ἡ ζημία τῶν ἀναγκαίων καὶ ἄλλως τερατώδης ἡ νόσος. Ἀλλὰ τί πρὸς ταῦτα ποιεῖν χρή; Δακρύειν ἄμετρα καὶ πένθει καταβαπτίζεσθαι; Οὐδαμῶς. Εἰ μὲν γὰρ ἀντεισενεγκεῖν ἔχει τὴν ζημίαν τὰ δάκρυα, χέε πηγάς, ποταμῶν μιμείσθωσαν ῥεύματα, καί, εἴ σοι πρὸς ταῦτα συνεισφέρειν ἀνάγκη καὶ φίλου, ἄφθονον ἔδει κἀκείνους ταύτην παρέχειν τὴν χάριν, καὶ οὔτε τις εὖ φρονῶν τότε τὴν σὴν ἀνεκώλυσεν ἀμετρίαν καὶ τοὺς οὕτως ἔχοντας ἅπας ἐπῄνεσε τῶν φίλων. Ὅτε δὲ μήτε λύει τὴν τοιαύτην νόσον τὰ δάκρυα καὶ βαρυτέραν ἐργάζεται, ποῦ τῶν δακρύων ἐνταῦθα καὶ τῆς ἀμέτρου λύπης τὸ ὄφελος; Καὶ οὐκ ἀναλγητὶ φέρειν λέγω τὸ πάθος, οὐδ' ὅτι δακρύεις ὅλως μέμφομαι· εἰ γὰρ ἐπὶ σοῦ τοῦτο πάσχομεν, καὶ αὐτὸς ἂν ἐπ' ἄλλων ἐποίεις, πῶς ἂν τοῦτο ὑπὲρ σαυτοῦ διαφύγοις; ἀλλὰ τὴν ἀμετρίαν κωλύω, τὸ σαυτὸν ὅλον ἐκδιδόναι τῷ πένθει, τὸ τὴν τῆς αἰσθήσεως ὥραν ἐν λύπῃ καὶ δάκρυσι δαπανᾶν. Εἰ γὰρ σὺν θεῷ τῆς φύσεως πρὸς τὸ βέλτιον ἐπανιούσης καὶ τὴν παρὰ σαυτοῦ συνεισέφερες ῥοπήν, ἥ δέ ἐστι φαρμάκοις χρῆσθαι καταλλήλοις τῇ νόσῳ, ὑγιεινῇ διαίτῃ, ἀποχῇ δακρύων καὶ πένθους ἀμέτρου, τῇ πρὸς ἀδελφοὺς ὁμιλίᾳ μὴ βαρυθύμῳ καὶ πολυπενθεῖ, ἀλλὰ σταθηρᾷ καὶ συμμέτρῳ, λέγω δὲ τῇ διὰ νεύματος ἢ μέλανος, δι' ὧν σοι νῦν ὁμιλεῖν ἡ νόσος συγχωρεῖ, εἰ ταῦτα τότε ἐποίεις, τάχιστα ἄν, θεοῦ καὶ τοῦτο διδόντος, τὴν προτέραν εἶδες ὑγείαν.

Ἐγὼ δέ, καὶ μή μοι τοῦ λόγου ὑπερβολὴν καταγνῷς, καὶ ἅπερ ἀφορμὴν δακρύων ἔχῃς καὶ πένθους ἀφορήτου, ὅτι γλώττης, ἀκοῆς ἐστέρησαι, ἐγκεφάλου καὶ νοὸς ὑγιοῦς καὶ ὅσα εἴρηκας ἄλλα, χαρᾶς ὑπόθεσιν ἥγημαι μάλιστα καὶ ἡδονῆς. Καὶ ὅπως ἄκουε. Οἶδας, ὅτι τῶν μαρτύρων οὐκ ὀλίγοι ἀκρωτηριασμὸν ὑπέστησαν μελῶν, καὶ οἱ μὲν πλειόνων, οἱ δὲ ἐλαττόνων. Τίνας οὖν οἴει μάλιστα χαίρειν, ὅσοι μελῶν ἀφῃρέθησαν πλειόνων ἢ οἵτινες ἐλαττόνων; τοὺς ἀφαιρεθέντας πάντως ἐρεῖς πλειόνων. Ὁ γὰρ ἅγιος Ἰάκωβος ὁ Πέρσης, ὅτε καὶ χεῖρας εἶδε κατὰ μικρὸν καὶ πόδας κατακοπέντας καὶ ὦτα καὶ γλῶτταν

2. *οὐδείς* BO : *οὐδείς ἐκ τοῦ οὐδεὶς* A *ἀναγκαίων* BO : *ἀναγκαίων ἐκ τοῦ ἀνακαίων* A 4. *οὐδαμῶς* B ' *οὐδαμῶς* OA 7 *οὔτέ* BOA 8. *ἀνεκώλυσεν* BOA. Γραπτέον *ἂν ἐκώλυσεν* ; *ἔχοντας* B : *ἔχοντας* OA 9. *μήτε* BA : *μητέ* O 11. *ἀναλγητὶ* B : *ἀναλεὶ* OA 12. *ὅτι* BO : *ὅτι ἐκ τοῦ ὅσεις* A *τοῦτο* BO : *τοῦτο* (περιγεγραμμένον) *τοῦτο* A 15. *ὥραν* BO : *θύραν* A 16. *παρὰ σαυτοῦ* B : *παρασαυτοῦ* OA 21. *ἐποίεις* B : *ποίεις* OA 25. *ὑγιοῦς* BO : *ὑγιοῦς ἐκ τοῦ ὑγιοὺς* A 27. *οὐκ ὀλίγοι* BA : *οὐκολίγοι* O

καὶ ῥῖνα καὶ μόνην ἔγνω τὴν κεφαλὴν περιλειφθεῖσαν μετὰ γαστρὸς, τέρας ὅ τι καινόν, θέαμα παράδοξον, ἄλλοις μὲν δακρύων ἄξιον, μάρτυσι δὲ καὶ τοῖς κατ' ἐκείνους φιλοσοφεῖν εἰδόσι χαρᾶς πρόξενον, ὅτε τοίνυν ἑαυτὸν ἐκεῖνος τοιαῦτα εἶδε παθόντα, πολλῷ μᾶλλον ἐσκίρτα καὶ ἔχαιρε τῶν μὴ ταῦτα παθόντων. Οὐκοῦν εἰ μελῶν καὶ αὐτός καὶ ὀργάνων σωματικῶν ἐστέρησαι, ὅσῳ πλειόνων ὑπέστης στέρησιν, τοσούτῳ τοῖς μείζοσιν ἔοικας τῶν ἁγίων, καὶ ὅσῳ τὰ τῶν μειζόνων πέπονθας, τοσούτῳ καὶ χαρᾶς μείζονος παραίτια τὰ κατὰ σέ. Ἀλλ' οἱ μὲν ἅγιοι, φησίν, καὶ ἑκόντες ἔπαθον καὶ ὑπὲρ στεφάνων, ὁ δὲ Φιλόθεος καὶ ἄκων καὶ ἐγκλημάτων ἕνεκεν. Καὶ ποῦ ταῦτα ἀλλήλοις ταὐτά;

Περὶ μὲν οὖν ἑκουσίου καὶ ἀκουσίου οὐ πολύς μοι λόγος. Ἀκούσιος γὰρ ἦν καὶ ἡ τῶν ἁγίων πρὸς ἀγῶνας πάλη· σπανίων γὰρ ἡ πρὸς τὸ στάδιον ἐθελούσιος ὁρμή· πλὴν καὶ τὴν ἀκούσιον ἐν ἀγαθοῖς καρτερίαν οὐκ ἀποδέουσαν ὁ ἀθλοθέτης ἡγεῖται τῆς ἑκουσίου, καὶ οὐκ ἐπὶ μαρτυρίου μόνον ἔνθα νόμος μὴ πρὸς ἀγῶνας ἐθελοντὰς χωρεῖν, ἀλλὰ καὶ χρήματα· εἴ τις ἀπολωλεκὼς εὐχαρίστως φέρῃ, τῶν ἴσων τυγχάνει γερῶν τῷ τοῖς πένησιν ἑκοντὶ δεδωκότι, καὶ τοῦτο ἐν πολλοῖς ἡ χρυσῆ τοῦ Ἰωάννου διαμαρτύρεται γλῶττα. Ταῦτα καὶ περὶ τοῦ φέροντας νόει μακροθύμως τὴν ἀκούσιον νόσον. Περὶ δὲ τῶν ἐγκλημάτων ἐκεῖνο λέγω· ἡ νόσος ἢ πλημμελημάτων ἕνεκεν ἢ στεφάνων ἐνέσκηψε, καὶ εἰ μὲν ὑπὲρ στεφάνων, οὐδὲ λόγων χρεία ὅσον ἐκ τούτου χαίρειν εἰκός· εἰ δὲ πρὸς ἁμαρτημάτων ἐξάλειψιν, ὅπερ ἔφην σοι καὶ πάλιν ἐρῶ, χαίρειν, καὶ διὰ τοῦτο χρή, ὅτι καταδίκης ἐρρύσθης, ὅτι γεέννης ἀπηλλάγης, ὅτι μικρὸν ἐνταῦθα ταλαιπωρήσας αἰωνίων λέλυσαι βασάνων· πόσης δὲ οὐκ ἂν εἴη τοῦτο χαρᾶς ὅταν τις ἐν βεβαίῳ γένηται, ὅτι ὀδύνης ἕνεκεν προσκαίρου δεινῶν ἀπήλλακται

1. *ῥῖνα* BA : *ῥῖνα ἐκ τοῦ ῥίνα* O *περιλειφθεῖσαν* BO : *περιπεριληφθεῖσαν* A 4. *ἑαυτὸν* BO : *ἑαῦτὸν* A 5. *εἰ μελῶν* BO : *ἀμελῶν* A 6. *ἐστέρησαι* BO : *ἐστέρησας* A 9. *ἑκόντες* B : *ἑκόντες* OA 10. *ταυτά* BOA 11. *ἑκουσίου* BO : *ἑκουσίου ἐκ τοῦ ἑκουσίου* A *ἀκουσίου* BA : *ακουσίου* O 12. *ἀγῶνας* BA : *ἀγῶνας ἐκ τοῦ ἀγώνας* O 14. *ἑκουσίου* BA : *ἑκουσίου* O 15. *μὴ* BO : *καὶ* A *ἐθελοντὰς* BO : *ἐθελόντὰς* A 16. *εὐχαρίστως* BO : *εὐχαρίστω* A 17. *ἑκοντὶ* B : *ἑκοντὶ* OA 19-20. *ἐγκλημάτων* BO : *ἐγκλημάτων ἐκ τοῦ ἐκλημάτων* A 20. *ἢ* O : *ἡ* BA *πλημμελημάτων* B : *πλημμελημάτων ἐκ τοῦ πλημελημάτων* A : *πλημμελημάτων* O 21. *εἰ* B : *ἡ* OA 22. *ἁμαρτημάτων* B : *ἁμαρτημάτων* OA 24 *ἀπηλλάγης* B : *ἀπαλλάγης* O : *ἀπαλλάγης τοῦ ἄνωθεν η ὄντος νεωτέρου* A 25. *πόσης* BO : *πόσης (περιγεγραμμένον) πόσης* A *ὅταν* BOA

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΔΙΕΥΘΥΝΤΗΣ Ε.Π.Α. task.ΙΙ ΙΩΑΝΝΙΝΑ 2006

ἀτελευτήτων, ὁ Κύριος εἴρηκεν «Εἰ ὁ ὀφθαλμός σου ὁ δεξιός, σκανδαλίζει σε, ἔξελε αὐτὸν καὶ βάλε ἀπὸ σοῦ καὶ μὴ ὅλον τὸ σῶμα βληθῇ εἰς γέενναν». Εἰ τοίνυν ἡ σὴ γλῶσσα καὶ ἀκοὴ καὶ ἐγκέφαλος εἰς γέενναν παραπέμψειν ἔμελλον, τούτων δὲ μικρὸν στερηθεὶς ἕξεις μὲν καὶ ταῦτα πολλῷ βελτίω, ἐκφεύξῃ δὲ καὶ γέενναν καὶ παράδεισον αὐτῆς οἰκήσεις, ποίας οὐχ ἡδονῆς καὶ τρυφῆς καὶ ἑορτῆς ταῦτα τερπνότερα; Εἰ δέ σοι λογισμὸς ἄλλος διενοχλεῖ, ὅτι τὴν μὲν νόσον ἁμαρτήματα ἔτεκεν ἀμφιβόλως, μέμφῃ δὲ σαυτόν, ὅτι μὴ θεαρέστως βεβίωκας καὶ τοῦτο ἐπιψηφίζῃ ὡς εἴπερ ἀνέγκλητος ὁ σὸς ἐτύγχανε βίος, οὐκ ἂν τοιαύτης μάστιγος ἐπειράθης, καὶ τοῦτό σοι γίνεται τῆς τῶν δακρύων αἴτιον ἀμετρίας, ἐκείνου σε ἀναμνῆσαι βούλομαι. Γέγραπται ἐν τῷ Πατερικῷ· «δύο τινὲς τοῖς αὐτοῖς περιπεσόντες ἁμαρτήμασι προσῆλθον γέροντι, καὶ ὃς ἑκατέρῳ τὸν αὐτὸν παρέσχε κανόνα· μετὰ δὲ τὴν προθεσμίαν, ἣν ὁ πατὴρ ὡρίσατο, καλεῖ καὶ ἀμφοτέρους· καὶ ἦν ὁ μὲν χαρίεις εὐθαλής, τερπνὸς τὴν θέαν, πολλὰ πολλαχόθεν χαρᾶς ὑποφαίνων χαρίσματα, ὁ δὲ σκυθρωπός, κατηφής, κατεσκληκώς, ὠχρότητος γέμων καὶ μελανίας. Ἠρώτησεν ὁ γέρων τὸν μὲν διὰ τί χαρίεις, τὸν δὲ ὅπως ἐστὶ σκυθρωπός. Καὶ ὁ μὲν ἀπεκρίνατο, ὡς ἐξ ὅτου τὸν τῆς μετανοίας ἐδεξάμην κανόνα, χαίρω ἀναλογιζόμενος ἐξ οἵων με βορβόρων ὁ θεὸς ἐλεήσας πρὸς μετάνοιαν ἐπέστρεψε καὶ ὅπως ἐκεῖ μὲν μένων κολασθήσεσθαι ἔμελλον, νῦν δέ, θεοῦ ἐλεήσαντος, τῆς κολάσεως λέλυμαι καὶ ἐκ τῆς τοιαύτης ἐννοίας, ὅτι τοσούτου τετύχηκα κέρδους οὐκ εἶχον ἀπὸ τῆς χαρᾶς ὅ τι καὶ γένωμαι. Εἶτα καὶ τὸν θεὸν οὕτω μακρόθυμον ὄντα χαίρων ἐδόξαζον καὶ τὰς τῶν ἁγίων ἀνατυπῶν ἐκ θεοῦ δωρεὰς ἀκάθεκτος ἦν τῇ χαρᾷ. Ὁ δὲ ὠχρίας ἐκεῖνος καὶ δυςειδὴς πικρῶς εἶπεν ἀεὶ τῶν ἰδίων ἐμέμνητο ἁμαρτημάτων καὶ ὅτι τὸ θεὸν ἐλύπησεν ἁμαρτήσας διηνεκῶς ἔστενε καὶ πενθῶν οὐκ ἐπαύετο, τὰ ἁμαρτήματα πρὸ ὀφθαλμῶν φέρων καὶ

3. *βληθῇ* B : *βουληθῇ* OA *γλῶσσα* B : *γλώσσα* OA 4. *τούτων* B : *τούτον* OA 6. *ἡδονῆς* B : *ἡδονῆς* OA 8. *ἁμαρτήματα* BO : *ἁμαρτήματα* ἐκ τοῦ *ἁμαρτήματα* A 10. *τοῦτο* BOA 13. *προςῆλθον* B : *προςῆλθον* OA *ἑκατέρω* BO : *ἑκατέρω* ἐκ τοῦ *ἑκατέρω* A 14. *μετὰ δὲ* BO : *μεταδὲ* A *ὡρίσατο* B : *ωρίσατο* OA 16-17. *κατεσκληκὼς* B : *κατεσκληκὼς* ἐκ τοῦ *κατεσκληκῶς* A : *κατεσκληκῶς* O 17. *ἠρώτησεν* B : *ἠρώτησεν* OA 18. *διατί* BOA 19. *ἐξότου* BOA 22. *τοιαύτης* BOA 23. *ἀπὸ τῆς* BA : *ἀποτῆς* O *γένωμαι* B : *γένομαι* OA 24. *ὄντα* BO : *ἄντα* A 26. *ὠχρίας* BOA 27. *ἁμαρτημάτων* BA : *ἁμαρτημάτων* O *ἁμαρτήσας* A : *ἁμαρτήσας* OA 28. *οὐκ ἐπαύετο* BA : *οὐκεπαύετο* O *ἁμαρτήματα* B : *ἁμαρτήματα* A : *ἁμαρτήματα* O

τὰς κολάσεις τῶν σφαλέντων ὡς παρούσας ἀναζωγραφῶν. Ἀπεκαλύφθη δὲ τῷ γέροντι τῆς αὐτῆς τυχεῖν καὶ ἀμφοτέρους οὐρανίου μονῆς». Καὶ αὐτὸς τοίνυν, πεφιλημένε μοι κατὰ Κύριον Φιλόθεε, ὁπωςδήποτε γέγονεν ἡ νόσος, μᾶλλον δὲ ἐξ ἁμαρτίας γεγονέναι νομίζων καὶ οὐκ ἐκ πολιτείας θεοφιλοῦς, χαῖρε, τὸν χαροπὸν ἐκεῖνον μιμούμενος, καὶ τὴν τοῦ σκυθρωποῦ ἐργασίαν οὐ τοῦ παρόντος εἶναι νόμισον καιροῦ, ἀλλ᾽ ὅταν ἡ νόσος λυθῇ· θάρρει δὲ ὅτι λυθήσεται σὺν θεῷ. Εἴτε γὰρ τοῦ φίλτρου καὶ τῆς συνεχοῦς περὶ σοῦ μερίμνης· εἰώθαμεν γὰρ τούτοις ἐν ὕπνοις προςδιαλέγεσθαι καὶ προςομιλεῖν οἷς διατελοῦμεν ἡμέρας προςκείμενοι· εἴτε ἄλλως μελλούσης ἀληθείας, ἔδοξα καθ᾽ ὕπνους ἰδεῖν τὸν καλὸν Φιλόθεον καὶ λαλοῦντα καὶ ἀκούοντα καὶ τῇ προτέρᾳ πάσῃ χρώμενον ἀνεμποδίστως διαίτῃ καὶ ὁμιλίᾳ. Ὑπέφαινε δὲ ὁ ὄνειρος γενέσθαι τὴν ἴασιν ἐξ ἐμῆς τάχα πρὸς θεὸν ἱκεσίας. Ἦν δὲ ἡ νὺξ ἐκείνου τοῦ ὀνείρατος πρὸ τῆς ἡμέρας ἐκείνης καθ᾽ ἣν σοι ἐνέτυχεν ὁ ἐμὸς ἐν Χριστῷ ἀδελφὸς κῦρ Ματθαῖος, ὅτε καὶ νεύμασιν αὐτῷ καὶ γράμμασιν ὡμίλησας ὡς δεδύνησαι. Ἔχω εἰπεῖν ὅτι καὶ τοῖς μεγάλοις μεγάλους καὶ πρὸς συμπλοκὴν ὁ θεὸς ἀφίησι τοὺς ἀγῶνας. Σὺ δὲ οὔτε τὴν γνῶσιν μικρὸς καὶ πολυειδὴς καὶ γενναῖος ἐτύγχανες ὧν τὴν πεῖραν, καὶ διὰ τοῦτό σοι καὶ μέγας ὁ τῆς μάστιγος ἀγὼν συγκεχώρηται, ἵν᾽ ὥςπερ ὑπὲρ τοὺς ἄλλους τὰ σὰ κατορθώματα καὶ περιφανὴς ἤκουες δι᾽ ἐκεῖνα κατὰ τὸν βίον, οὕτω καὶ ἡ κατὰ σοῦ νόσος τὰς τῶν ἄλλων ὑπερβαίνει, ὡς ἂν καὶ διὰ ταύτης λαμπρότερος διαδειχθῇς. Ὥςτε χαίρειν ἀνάγκη καὶ διὰ ταῦτα. Ἀλλ᾽ ἵνα μὴ ὁ τῦφος ἐντεῦθεν ὑπερκύψῃ καὶ τὸ ὑπερήφανον, ταύτην μὲν ἄφες τὴν ὁδόν, ἐξ ἁμαρτίας δὲ μόνης πίστευε τὴν νόσον, καὶ τὸ πενθεῖν ὑπὲρ μέτρον ἀφεὶς κατ᾽ ἐκεῖνον χαῖρε τὸν χαροπὸν καὶ τὴν εὐχὴν ὥς σοι προέγραψα ἄπαυστον ἐν καρδίᾳ κίνει. Οὕτω γάρ μοι, φίλτατε Φιλόθεε, καὶ τῆς νόσου, θεοῦ βοηθοῦντος, λυθήσῃ καὶ ἀγαθῶν ἀξιωθήσῃ τῶν αἰωνίων.

Ἀμήν.

1. *παρούσας* B : *παροῦσας* OA 4. *ἐξ ἁμαρτίας* BA : *ἐξαμαρτίας* O *νομίζων*[β] *γεγονέναι*[α] BOA 5. *ἐκ* B : *εκ* OA 11. *ἀκούοντα* BA : *ακούοντα* O 13. *ἐξ ἐμῆς* BA : *ἐξεμῆς* O 15. *ἐμὸς* B : *εμὸς* BA 19. *μάστιγος* BA : *μάστιγγος* O 21. *κατὰ σοῦ* B : *κατασοῦ* OA 21-22. *τὰς τῶν* B : *ταςτῶν* OA 23. *τῦφος* B : *τύφος* OA 24. *ἐξ ἁμαρτίας* B : *ἐξαμαρτίας* OA 25. *ὑπὲρ μέτρον* B : *ὑπερμέτρον* OA 26. *χαῖρε* BO : *χαῖραι* A *ὧς* B : *ὡς* OA *προέγραψα* OA : *προὔγραψα* B